Rationes editionis criticae sequentes editores operam dabant, ut formae textus originali quam proxime adhaererent. Sed quod verba accentu carentia in codicibus non semper eadem sunt, consentaneum esse videbatur regulas grammaticae usitatas adhibere, in apparatu autem omnes lectiones differentes in codicibus adhibitas annotare.

Interpunctiones magna ex parte codicibus neglectis positae sunt, ut demonstraretur, quomodo editores dicta comprehenderent.

In apparatum criticum omnes fere lectiones codicum a textu recepto discrepantes, sicut simplicia menda scripturae, assumptae sunt.

Etiam apparatus locorum satis copiose exhibetur. Non solum fontes nominantur, qui adhiberi possunt, sed etiam exempla comparabilia eiusdem temporis et etiam posteriora, quae quidem cum textu Stilbis quodammodo affinitate coniuncta esse videntur. Etiam interpretationes ad rem singulis locis tractatam pertinentes in hoc apparatu additae sunt.

* *
*

Ericus Trapp textus Graecos legit et pretiosa consilia dedit. Anneliesa Paul in praefatione Latine reddenda auxilium inaestimabile praestitit. Ambobus hoc loco maximas gratias agimus.

Vindobonae, m. Iunio a. D. MMV — Johannes Diethart et Wolfram Hörandner

INDEX LIBRORVM

R. Browning, An anonymous βασιλικὸς λόγος addressed to Alexios I Comnenus. Byzantion 28 (1958) 31–50.
R. Browning, The Patriarchal School at Constantinople in the Twelfth Century. Byzantion 33 (1963) 11–40 (de Stilbe 26–32).
Costantino Stilbes, La prolusione del maestro dell'apostolos, a cura di L. R. Cresci. Messina 1987.
U. Criscuolo, Didascalia e versi di Costantino Stilbes. Diptycha 2 (1980–1981) 78–97.
U. Criscuolo, Due epistole inedite di Costantino Stilbes. Rivista di Studi Bizantini e Slavi 3 (1983) 11–19.
U. Criscuolo, Nuovi contributi alla storia letteraria del XII secolo: inediti di Costantino Stilbes, in: Studi bizantini e neogreci, a cura di P. L. Leone. Galatina 1983, 293–299.
J. Darrouzès, Le mémoire de Constantin Stilbès contre les Latins. Revue des Etudes Byzantines 21 (1963) 50–100.
J. Darrouzès, Notes de littérature et de critique, II. Constantin Stilbès et Cyrille, métropolite de Cyzique. Revue des Etudes Byzantines 18 (1960) 184–187.
P. van Deun, La profession de foi de Constantin Stilbès dans l'Athous Vatopedinus 474. Byzantion 59 (1989) 258–263.
J. Diethart, Der Rhetor und Didaskalos Konstantinos Stilbes. Diss. (dactylogr.) Wien 1971.
J. Diethart – W. Hörandner, The poetical work of Constantine Stilbes. Some remarks on his rhetorical practice, in: La poesia tardoantica e medievale. Atti del II Convegno internazionale di studi, Perugia, 15-16 novembre 2001, a cura di Anna Maria Taragna (Centro internazionale di studi sulla poesia greca e latina in età tardoantica e medievale. Quaderni 2). Alessandria 2004, 215–227.
B. Flusin, Didascalie de Constantin Stilbès sur le mandylion et la sainte tuile (BHG 796m). REB 55 (1997) 53–79.
R. Gentile Messina, Sul Basilikos Logos attribuito a Costantino Stilbes: Ipotesi di una nuova datazione, in: Syndesmos. Studi in onore di Rosario Anastasi, I. Catania 1991, 115–145.
A. Labate, La monodia di Costantino Stilbes per il patriarca Michele III. Messana. Rassegna di studi filologici, linguistici e storici 17 (1993 [1995]) 91–111.
A. Labate, Sulla didascalia di Costantino Stilbes per Giorgio Xifilino, in:

Byzantina Mediolanensia. V Congresso Nazionale di Studi Bizantini, Atti, a cura di F. Conca. Soveria Mannelli 1996, 227–234.
W. Lackner, Eine Abhandlung des Konstantinos Stilbes zum Problem der Pseudo- Chrysostomica. Jahrbuch der österreichischen Byzantinistik 34 (1984) 107–121.
P. Wirth, Aulikalamas oder Aulikalamos? Byzantinische Zeitschrift 56 (1963) 237–238.

CONSPECTVS SIGLORVM

Patr	Versus sepulcrales in Patriarcham Michael
Disc	Versus sepulcrales in discipulum
App	Appendix. Anonymi versus sepulcrales in Patriarcham Dionysium (s. XV)
Inc	Versus de incendio
Patr	
N	Marc. gr. 436 s. XIV, fol. 3ᵛ
Disc	
V	Vat. gr. 672 s. XIII, fol. 290ʳ⁻ᵛ
W	Vat. gr. 900 s. XIV in., fol. 209ᵛ–210ʳ
R	Vat. gr. 1363 s. XIV, fol. 364ᵛ
P	Pal. Heidelb. gr. 18 s. XIV, fol. 8ᵛ
H	Pal. Heidelb. gr. 356 s. XIV, fol. 143
I	Athous 4251 (Ib. 131) s. XV, fol. 171ᵛ
T	Tybing. Mb 10 (X.X.4) a. 1578, fol. 201–209
b	Vat. Barb. gr. 74 s. XVII, fol. 7–8
v	Vat. gr. 1900 s. XVII, fol. 444ᵛ–445ᵛ (e V descriptus)
App	
A	Ambr. gr. 40 (A 115 sup.) s. XV/XVI, fol. 505ᵛ
Inc	
B	Vat. Barb. gr. 240 (= II 61) s. XIII ex., fol. 71–75ᵛ
M	Marc. gr. 524 s. XIII/XIV, fol. 10ᵛ–18
Editiones	
Cris	U. Criscuolo, Didascalia e versi di Costantino Stilbes. Δίπτυχα 2 (1980–1981) 78–97 (Disc, App)
Diet	J. Diethart, Der Rhetor und Didaskalos Konstantinos Stilbes. Diss. (dactylogr.) Wien 1971 (Disc, App, Patr, Inc)
La	Sp. Lampros, Ὁ Μαρκιανὸς κῶδιξ 524. Νέος Ἑλληνομνήμων 8 (1911) 12–16 (Inc partim)
Lab	A. Labate, La monodia di Costantino Stilbes per il patriarca Michele III. Messana. Rassegna di studi filologici, linguistici e storici 17 (1993 [1995]) 91–111 (Patr)

Ἐπιτάφιοι εἰς τὸν πατριάρχην κῦρ Μιχαὴλ
τὸν [τοῦ Ἀγχιάλου]

Οἰκουμενικὸς λύχνος ἐκρύβη μέγας,
ὁ κοσμικὸς κατῆλθεν εἰς γῆν φωσφόρος,
ὁ Μιχαὴλ τὸ θαῦμα τῆς ἐκκλησίας.
ὁ νοῦς ὁ λαμπρὸς χοῦς ἀμυδρὸς ἐνθάδε,
ἡ βρύσις ὑπὸ πέτραν ἡ τῶν δογμάτων.
ὁ τῶν λόγων χείμαρρος εἰς Ἅιδην ῥέει,
ὁ κῆπος ἀπέρρευσε τῶν χαρισμάτων,
τὸ δένδρον ἀπήνθησε τὸ ψυχοτρόφον,
ὃ γραφικαῖς ἔθαλλεν ἐν διεξόδοις·
ποιμὴν καλὸς σύριγγα γλυκεῖαν σχάσας
κοιτάζεται φεῦ εἰς περίβυστον τάφον.
ὁ πατριάρχης Ἰακὼβ ὑπνοῖ λίθῳ,
πλὴν ἀλλ’ ὑπνοῖ, κλίμακα τὴν θείαν βλέπει
ἀνάβασίν τε καὶ κατάβασιν ξένην·
ὡς Ἰωὴλ δὲ τὸν θεὸν νοεῖ πάλιν
ἄνω μένοντα καὶ κάτω σαρκούμενον·
τοῖς μυστικοῖς γοῦν ἐντρυφᾷ καὶ νῦν λόγοις,

1 cf. Ps. 118,105; Mt. 5,14–15 **2** cf. Phil. 2,15; cf. et Disc 3 **4** cf. Gen. 2,7; Ps. 102,14; Eccl. 3,20; 12,7; cf. Georgium Acropolitam, C. Lat. 1,4 (II 35,1 Heisenberg) κόνις ὢν ἀμυδρὰ καὶ χοῦς **6** cf. Cosmam Vestitorem, Laud. in Io. Chrys. (ed. C. Dyobuniotes, Epeteris Hetair. Byz. Spud. 16, 1940, 151–155), p.153, l.37 τὸν χειμάρρουν τῆς τρυφῆς τῶν σῶν λόγων; Manuelem Holobolum, Enc. in imp. Mich. Palaeologum 35,14 (ed. Treu, Progr. Potsdam 1906) οἷς κατὰ χειμάρρους οἱ τῆς ῥητορείας μορμύρουσι ποταμοί **6–8** cf. Cant. 6,1 **7** cf. Manuelem Philem I 332,10 (Miller) κῆπε τῶν χαρισμάτων **8–9** cf. Ps. 1,3 **10** cf. Io. 10,11.14; σύριγγα σχάσας cf. Eur. Phoen. 960 τί σιγᾷς γῆρυν ἄφθογγον σχάσας **10–11** cf. Ier. 40,12 **12–14** cf. Gen. 28,11–12 **15–16** cf. Ioel 2,27–3,1; Act. 2,16–17

N

Inscr. τοῦ στιλβῆ [κτλ.] N τὸν τοῦ Ἀγχιάλου suppl. Browning, Patr. School 28; evanuit in N **1** λίχνος ἐκρίβη N **13** ἀλλ’ leg. Diet Lab; non clare legitur in N; an κἂν legendum?

τὸ βάθος ὕψος οἶδε, σάρκα [νοῦν] ὁ[μοῦ]
καὶ τὸν θεϋπόστατον ὡς θεὸν κρίνει.
ἀναπεσὼν ὕπνωσεν εὐγενὴς λέων
εἰς πέτρινον σπήλαιον, εἰς ψυχρὰν πλάκα,
καὶ σκύμνος ὥσπερ ἀπερυγγάνειν φθάνει,
καὶ κνώδαλον πᾶν ἐπτοήθη μακρόθεν.
κοιμωμένου γοῦν τοῦ λέοντος ἀρτίως
τὰς τῶν ὀνύχων σου τρίχας ἔτι τρέμει·
καὶ τῶν ἰχνῶν γὰρ ὑφορᾶται τοὺς τύπους
καὶ δακτύλων ξυσμάς τε τυγχάνειν θέλει
καί πως ὀνύχων [..]μφ[...]ῖ πάλιν λέων.
πλὴν ἀλλ' ἐγείρει τόνδε σάλπιγξ ἐσχάτη·
βρυχήσεται δὲ τῆς εὐπ[ει]θείας [...]
καὶ πᾶν πτοήσει τοῦ καλάμου θηρίον.
καὶ βασιλείας τῆς ἀνεσπέρου τύχης
λεοντιδὴς γνήσιος ἐγκριθ[εὶς ......]
σκύμνος λέοντος, ὃν γραφῆς ὑμνεῖ στόμα.

18 cf. Eph. 3,18 **20** cf. Gen. 49,9 **21** cf. Is. 33,16 **22** cf. e.g. Gen. 49,9 **23** cf. e.g. Ier. 4,25 **25** prov. ἐξ ὄνυχος τὸν λέοντα (Karathanasis, Sprichwörter 111 n. 235) **29** cf. 1Cor. 15,52 **31** cf. Ps. 67,31 **32** cf. Dan. 7,27; 2Petr. 1,11; cf. et Ephraem Syr., Precationes ad dei matrem, Prec. 8 (Phrantzoles VI 397,8) ἐν τῇ ἀνεσπέρῳ αὐτοῦ καὶ ἀπεράντῳ βασιλείᾳ **34** cf. Gen. 49,9

18 νοῦν ὁμοῦ suppl. Diet; praeter o vix quicquam legitur **22** ἀπερυγγάνων fort. scribendum Lab **25** σου τρίχας Diet; dubitat Lab; non clare legitur in N; an ἀμυχὰς legendum? **28** an ἐκφανῇ vel ἐμφανῇ legendum? **30** εὐπ..θείας N : εὐπειθείας dubitanter, quia est contra metrum, Diet **32** τύχης Diet Lab **33** ἐγκριθήσεται dubitanter coni. Diet

Στίχοι μονῳδικοὶ ἐπί τινι εὐφυεῖ νέῳ τελευτήσαντι κατ' ἐρώτησιν

Ἔδυς φαεινὸν ὄμμα τῶν νέων, ἔδυς;
ἔδυν καλυφθεὶς τῷ μεδίμνῳ τοῦ τάφου.
ἔσβης φαεινὲ τῶν ποθούντων φωσφόρε;
ἔσβην, κἂν οὐκ ἦν ὡς ἐπαινεῖς φωσφόρος.
ἐν νυκτὶ ποίᾳ; μὴ πάλιν ἀναδράμῃς;
οὐκ ἀνάδυσις ἐξ ἀλύτου τοῦ σκότου.
τὸ καλὸν ἄνθος καὶ νεαρὸν ἐκρέεις;
ῥέω γεηρὰν ὡς λαχὼν τὴν οὐσίαν.
ἀπῆλθες ὁ στέφανος ἡμῖν τοῦ κλέους;
ὡς χόρτος ἀγροῦ καὶ τὸ Λοκρίδος ῥόδον.
εἰς πικρίαν νέκταρος ἐτράπης φύσις;
μετετράπην· Ἅιδου γὰρ ἀμείβει φάρυγξ.
ὁ πτηνὸς εἰς νοῦν οὐκ ἀνέσχες πρὸς μόρον;
πᾶσα νοὸς τάχιον ἐρρύη πτέρυξ.

3 cf. Patr 2 **5** cf. Anth. Pal. IX 575,4 καὶ νέκυς εἰς ζωῶν χῶρον ἀναδράμεται **6** cf. Io. Chrys., In epist. ad Coloss., PG 62,314,49 σκότος ἄλυτον καὶ ἀφεγγές **10** ~ Inc 168; χόρτος ἀγροῦ cf. Gen. 2,19 et Ps. 102,15; Λοκρίδος ῥόδον cf. Lycophr. 1429 (cum scholio) **12** cf. Eur. Alc. 461 ἀμεῖψαι ψυχὰς ἐξ Ἅιδα **13** cf. Eustathium Thessalonicensem, Op. min. 24,60 (Wirth) καὶ ἡμῖν πτηνὸς ὁ νοῦς

HIPRTVWbv

Inscr. Στίχοι τοῦ Στιλβῆ μονωδικοὶ κατ' ἐρώτησιν ἐπί τινι εὐφυεῖ νέῳ τελευτήσαντι V στεφαν mg. dext. V τοῦ Στιλβῆ στίχοι μονωδικοὶ ἐπί τινι εὐφυεῖ νέῳ τελευτήσαντι κατ' ἐρώτησιν HIRT Τοῦ Στιλβῆ στίχοι μονωδικοὶ ἐπί τινι νέῳ κατ' ἐρώτησιν Wb Στίχοι τοῦ μακαρίτου ἐκείνου Στιλβῆ κυροῦ Κωνσταντίνου πρὸς τὸν αὐτοῦ μαθητὴν Στέφανον τὸν Ἑξαπτέρυγον ἀποθανόντα ἐν ταῖς Παλαιαῖς Πάτραις [.....] P **5** πία v **6** ἀνάλυσις R^{ac}b ἀδύτου b σκότους Pb **7** καινὸν b **8** λαχὸν I^{sl} RT γεηρὰν λαχὼν W : γεηρὰν προσλαχὼν b^{pc} : γεηρὰν προσλαβὼν b^{ac} **10** λακρίδος v **11** ἐτράπεις v **12** φάρυξ b **13** εἰς : πρὸς b^{sl} P **14** ἐρρύει πτέριξ v

ἐμπύριε φρήν, οὐ νικᾷς Ἅιδου κράτος;
πανδαμάτωρ Ἅιδης με νικᾷ καὶ ψύχει.
φρόνησις ἄκρα μηχανᾷ τί πρὸς τάφον;
φρόνησις ὑπήκουσε φύσεως νόμοις.
οὐδεὶς φίλος παρέσχε σύμμαχον χέρα;
τοὺς ἐν βυθῷ τίς ἔκτασις χειρῶν φθάσει;
ζωῆς στέρησις καὶ φάους ἔθλιψέ σε;
καὶ πῶς γὰρ οὐκ ἄν, εἰ νεάζων ἐκρύβην;
ἡ τῶν φίλων ξένωσις ἐξέθλιψέ σε;
αὕτη θανάτου μᾶλλον ἐξέτηξέ με.
ἡ δὲ ξένη γῆ μὴ παρέσχε πικρίαν;
τοῦτο τρίτος θάνατος ἀλγύνων πλέον.
πρὸς τοῖς ξένοις θνήσκοντι τίς παρεστάθη;

15 cf. Theodorum Hexapterygum, Epit. in Steph. Choreget. 237,12 (Sideras, 25 uned. byz. Grabreden) ἀλλ' ὤ, νοῦς ἐμπύριος· πῶς ἀπέσβης τάχιον; πῶς ... νικητὴς ἄμαχος, νῦν ἐν νερτέροις ... ἔδυς πεσών; **16** cf. Anth. Pal. XVI 213 πανδαμάτωρ Ἀίδας **17** cf. Anth. Gr. App. II 743,10 (Cougny) Γεώργιος, φρόνησις ἄκρα καὶ γέρας **18** cf. e.g. Photium, Ep. 245,66 (Laourdas–Westerink) τηλικοῦτος οὐ διαφεύγει τὸ τέλος, ἀλλ' ὑποκύπτει τοῖς νόμοις τῆς φύσεως **19** cf. Anth. Pal. VI 214 Schol. πολλὴν δὲ παρασχεῖν σύμμαχον Ἕλλησιν χεῖρ' ἐς ἐλευθερίην; Io. Chrys., Epist. ad Olympiad., Ep. 10,1 (Malingrey) χεῖρα ὄρεξον τῷ λόγῳ καὶ τὴν καλὴν ταύτην παράσχου συμμαχίαν ἡμῖν; Io. Cinnamum 280,25 Ἀλεξίῳ ποτὲ βασιλεῖ χεῖρα παρασχόμενοι σύμμαχον **20** cf. e.g. Ex. 8,2; Greg. Naz., Or. 15, PG 35,921B (refert ad Ex. 17,1); Greg. Nyss., De vita Mosis II 153,16; Georgium Pisidam, Heracl. I 177 (Pertusi) **23** cf. Theodorum Daphnopatam, Epist. 40,51 (Darrouzès – Westerink) ἀλλὰ στέρησις φίλων σε καὶ συνήθων λυπεῖ; **24** cf. Ps. 118,138; Manuelem Philem I 88,32 (Miller) γλῶσσαν ... ὁ δυσμενὴς θάνατος ἐξέτηξέ μοι **25** cf. Michaelem Psellum, Poem. 17,66 (Westerink) τὴν πικρὰν τιμωρίαν ἣν ἐν ξένῃ γῇ δυστυχῶν ἐκαρτέρει

16 ὁ πανδαμάτωρ HIRTW **17** τι IRTW Cris **18** νόμων H **19** φίλων HIRTW παρέσχες P **20** τοῖς IRTWb χειρὸς HP φθάνει P **21** ἔθληψε T **23** στέρησις PT Cris **24** μᾶλλον θανάτου R^{ac} ἐξέθλιψέ Wb **25** πικρίας Wb **26** ἀλγύνων PVWv : ἀλγύνον HRT Cris : ἀλγῦνον I : ἀλγύνει b

ξένοι, κἂν ὑπώκλασαν εὐθὺς τῇ στάσει.
τίς ὀρφανὸν συνῆξεν ἄπολιν ξένον;
φιλόξενοί με φιλότεκνοι πατέρες.
κλίνει μετακλίνει τε τίς νοσοῦντά σε;
κἂν πρὸς βραχύ, πλὴν συμπαθεστέρων χέρες.
τίς καὶ πόσιν κίρνησι διψήσαντί σοι;
εὐαγγελικὸν οἱ φυλάσσοντες νόμον.
τίς γλῶσσαν ἀνέψυξεν ἐμπεφλεγμένην;
ὅστις μερίδος Ἀβραὰμ καὶ Λαζάρου.
τίς συνέκλεισεν ὄμματα θνήσκοντί σοι;
οὐχὶ φίλων μοι, πλὴν φιλοχρίστων χέρες.
ἔλουσε τίς σε λούματι πανυστάτῳ;
ἔλουσέ τις ὕδατι μικτῷ δακρύοις.
ποῖος τόπος συνέσχεν ἐκψύξαντά σε;
ποῖος τόπος; γῆ πᾶσα, γῆς κόνις, τάφος.
ὅμως φίλοις σήμαινε τὴν λυπρὰν χθόνα.
θάπτουσι Πάτραι μακρόθεν με πατρίδος.
θνήσκων ἐκάλεις τὸν διδάσκαλον; φράσον·

31 cf. Theodorum Prodromum, Poem. hist. 25,51 (Hörandner) καὶ νῦν πρὸς ἄρκτον, νῦν δὲ πρὸς νότον κλίνων, νῦν δ' εἰς ἕω τε καὶ δύσιν μετακλίνων **33** cf. Herodianum I 17,8 (35,22s. Stavenhagen) κιρνάναι ... πόσιν **39** Eur. Hec. 611; cf. Gregorium Antiochum, Epitaphia (ed. Sideras, 25 uned. byz. Grabreden) 152,18 λοίσθιον λοῦμα **41** cf. Ez. 21,12

28 ὑπώκλασε v : ὑπέκλασαν b **30** φιλόξενόν R **31** κλίνῃ R τε PVv Cris : τε ex σε R : σε HTWb : δὲ I Diet νοσοῦντα σε Vbv **32** πλὴν : κἂν b συμπαθεστάτων HIRWb χεῖρες I **33** καὶ τὶς b πῶς συγκίρνησι R^{ac} διχήσαντί v σε PR^{ac} **34** εὐαγγετικὸν v οἱ om. v λόγον P **35** γλῶτταν IT **36** ὅστις HIRT : ὅστε Wb : ὅσοι PVv Ἁβραὰμ RVWv **37** σε R^{ac} **38** μοι IRTb : με H : μὲν PVv φιοχρίστων v χεῖρες I **39** ἔλουσέ τις b λούσματι IRTW Diet **40** ἔλουσε τίς HPRW **41** ἐκψύξαντι P^{ac} **42** τέφρα R **44** με : τῆς b Πάτρα με θάπτει μακρόθεν τῆς πατρίδος P : θάπτουσι Πάτραι μακρόθεν σου τὸν φίλον R **45** ἐγκαλεῖς R τὸν διδάσκαλον; φράσον PVv : τὴν διδάσκαλε φράσιν IRT Cris Diet : τὴν διδασκάλου φράσιν H : τὴν διδάσκαλον φράσιν Wb

φεῦ, ἂν ὑπὲρ θάνατον ἐκζητεῖς λόγον·
τούτου στέρησις θᾶττον ἐξήρπασέ με
καὶ νῦν ἐπέγνων λαλιάν σου μακρόθεν.
παιδευτά, πάτερ, φίλε, πάντα τῷ ξένῳ,
οὐ λήσομαί σου κἂν τάφῳ, διδάσκαλε.
οὐ λήσομαί σου, τέκνον, οὐδ' ἐγώ, τέκνον,
οὐ ζήσομαί σοι, συνθανοῦμαί σοι, τέκνον,
λύπῃ βυθισθεὶς καὶ θαλάσσῃ δακρύων.
τερπνῶς γὰρ οἰκήσαιμεν ἄμφω τὸν τάφον
ψυχὰς ἀδελφώζοντες, οὐ χοὸς φύσιν.

Appendix. Anonymi versus sepulcrales in Patriarcham Dionysium (s. XV)

Ἔδυς φαεινὸν ὄμμα ναὶ θεῖον, ἔδυς;
ἔδυν ἀπελθών, ἔνθα φοιτῶσι βροτοί.
τὸ τερπνὸν ἄνθος ἐν σορῷ τοίνυν ἔθου;
θέμην γεηρὰν ὡς λαχὼν τὴν οὐσίαν.
ὁ γρήγορος νοῦς νῦν πέπαυσ' ἐξαπίνης;

46 ἆρ' ante ἂν inseruit Cris ἐκζητῆς HVWv λόγον : δόξαν R **48** σου : τὴν R **49** πάντων τῶν ξένων P **50** κᾂν b διδάσκαλε : διαδράμω R **51** τέκνον[1] : φίλον IT **52** συνθανοῦμαι IPRTWbv **53** βηθισθεὶς v **54** γὰρ : ἂν Wb οἰκήσομεν Ib : οἰκήσωμεν Diet : οἰκήσας μὲν R ἀμφὶ R **55** ἀδελφώζοντες HIRVWbv Diet : ἀδελφάζοντες P : ἀδελφίζοντες T Cris

1 ~ Disc 1 **2** cf. Sapph. 55 L.-P. **3** τὸ τερπνὸν ἄνθος Georgius Pisida, Bell. Avar. 28 (Pertusi); Michael Psellus, Poem. 17,15 (Westerink); cf. Nicolaum Calliclem 37,14 (Romano) ἐν σορῷ ... ἔθου cf. Gen. 50,26 **4** ~ Disc 8 **5** cf. Disc 13 figura ὁ γρήγορος νοῦς saepe homo, cui nomen Gregorius est, designatur; cf. I. Sajdak, Historia critica scholiastarum et commentatorum Gregorii Nazianzeni, Cracoviae 1914, 272–274; E. Miller, Manuelis Philae carmina II, Parisiis 1857, 340–353

A

Inscriptione caret A **3** τὸ : τύ male leg. Cris **4** θέμην A^{pc} **5** τ' ἔπαυσ' male leg. Cris

ναὶ μὴν πέπαυμαι φύσεως εἴξας νόμῳ.
ἔσβης ἀφ' ἡμῶν τῶν ποθούντων, φωσφόρε;
ἔσβην, κἂν οὐκ ἦν ὡς ἐπαινεῖς φωσφόρος.
νικητὰ τῶν παθῶν Ἅιδου νικᾷς κράτος;
νικᾷ δ' ὁ Χριστὸς ἀντ' ἐμοῦ τούτου σθένος.
φεῦ φεῦ ἀπαίρῃ· πάλιν οὐκ ἀναδράμῃς;
ποία λύτρωσις νῦν ἀφεγγοῦς τοῦ τάφου;
οὔ τις φίλος παρέσχε χεῖρας θειόφρων;
τοὺς ἐν τάφῳ τίς ἔκτασις χειρῶν λάβει;
οὐκέθ' ὁμιλεῖς, πάτερ Διονύσιε;
οὐδεὶς ἀφ' ἡμῶν σάλπιγγος μέχρ' ἐσχάτης.
αἲ αἴ τίς ἡμᾶς εὐφρανεῖ ἑξῆς δ' ὅμως;
πτωχῶν ὁ θρεπτὴρ καὶ μοναστῶν ἱκέτης.
χαίρεις σαφῶς ἄπαυστον ὡς ἀνὴρ μέγας
ᾄδων λιγυρὸν ἐν πόλῳ μετ' ἀγγέλων,
ἡμεῖς δὲ ζηλοῦμεν νυ πάντα σου τρόπον.
τοὺς συκοφαντήσαντας ἀδίκοις λόγοις
ἄδικον·ἐκθλίψαντας θεῖον ἀνέρα
θεός γε μὴ τίσοιτο εἰν ἦμαρ δίκης,
εὖτ' ἂν κτίσιν ἥξοιτο τοῦ κρίναι βροτούς·

6 ~ Disc 18 **7** ~ Disc 3 **8** = Disc 4 **9** ~ Disc 15 νικητὰ τῶν παθῶν cf. Io. Chrys., De ieiun., PG 60,713 **11** ~ Disc 5 **12** cf. Disc 6 **13** cf. Disc 19 **14** cf. Disc 20 **16** 1Cor 15,52 **18** de hoc usu vocis ἱκέτης cf. Eustathium Thessalonicensem, In Od. II 129,41 (Stallbaum) ad Od. 16,422 οὐχ ὡς ἱκετεύσας ἀλλ' ὡς ἱκετευθείς **22** συκοφαντήσαντας ad crimen circumcisionis falso in patriarcham collatum spectat; cf. Ecthesim Chronicam 30,16ss. (Lampros) **24** cf. Mt. 10,15 **25** cf. 2Tim 4,1

7 ἔσβυς A **8** ἔσβυν A **12** λύτρωσις Diet : λύρωσις A : πύρωσις Cris **13** πάρεσχε A θειόφρων Diet : θειόφρον A Cris **14** λάβοι Cris **18** πτοχῶν A Cris **21** ζηλοῦμεν νυ A : ζηλοῦμέν νυ Cris : ζηλοῦμεν νῦν Diet (νῦν contra metrum) **24** γε ex με A : γε A^{sl} τίσαιτο Cris εἰν ἦμαρ δίκης : δίκης εἰς ἦμαρ Cris (ἦμαρ contra metrum) : an εἰς ἦμαρ δίκης legendum? **25** κτίσιν A : κλῆσιν Cris qui legit κλίσιν ἥξοιτο Cris κρίνας Cris

τὸ γὰρ χρεὼν κρύψειε μέλλον οὐ δίκη.
μέμνησο τοίνυν τῶν ποθούντων σε πρόφρων,
ὑμνῶν τρισαυγῆ τὴν κρατοῦσαν τὴν κτίσιν.
ἴωμεν οὖν ἅπαντες ἔνθεν, ὦ φίλοι,
ἅλις μελῳδήσαντες ὅσσον γε σθένος.

M 10v Τοῦ Κωνσταντίνου μαΐστωρος καὶ διδασκάλου
τοῦ Στιλβῆ στίχοι ἰαμβικοὶ ἐπὶ τῷ συμβάντι ἐν
Κωνσταντινουπόλει θεηλάτῳ μεγάλῳ ἐμπρησμῷ μηνὶ
Ἰουλίῳ κε′ ἔτους ,ϛψε′

Δεῦτε, τρόφιμοι, δεῦτε, γῆς Βυζαντίδος,
ὅσοι πατεῖτε τὴν περίκλυτον πόλιν·
ξυναυλίαν κλαύσωμεν ὡς τραγῳδίαν
χορὸς τραγικὸς ἄλλος ἐκ τῆς ἀσβόλης
στυγνὴν φοροῦντες τὴν προσωπείων θέαν,
καὶ τῇ φλογὶ βλύσωμεν ὕδωρ δακρύων,
κἄνπερ χύσις ἄβυσσος αὐτὴν οὐ σβέσῃ·
τὴν πατρίδα θρηνῶμεν ἠνθρακωμένην,
τὴν βασιλίδα πενθικῶς ἐσταλμένην,
ὡς τὰς κρατούσας ἡ τραγῳδία γράφει.

26 κρύψειε A : κρύψεις leg. Diet Cris : κρύπτειν <τὸ> coni. Cris **27** πρόφρον coni. Cris **28** κτίσιν A : κλίσιν Cris **30** γὰρ A : γε scr. Cris : γοῦν Diet

2 περίκλυτον πόλιν cf. Const. Rhod., Descr. eccl. Apost. (Legrand) 323 τῇ πόλει τῇ παγκλύτῳ. **3** Ar. Eq. 9 (Δεῦρο δὴ πρόσελθ' ἵνα) ξυναυλίαν κλαύσωμεν Ὀλύμπου νόμον (versum citat et Eust., Il. 4,299,17 van der Valk). **4-5** cf. Aesch. Eum. 370s. χορὸν ... ἐπεὶ Μοῦσαν στυγερὰν ἀποφαίνεσθαι δεδόκηκεν, et Greg. Nyss., GNO 9,116,22 τὸν γοερὸν καὶ κατεστυγνασμένον τοῦτον χορόν.

M (a v. 327 et B)

tit. κοιαίστωρος coni. La qui falso legit καΐστωρος: μαΐστωρος Darrouzès; μεγάλῳ om. Diet **1-46** La **7** σβέσει La

οὐ χάριεν γὰρ πατρίδος καπνὸν βλέπειν,
ἂν ἀποθρῴσκῃ δριμὺς ἐκ τῶν καυμάτων.
ὅσοι καλοῖς τρυφᾶτε τῆς Κωνσταντίνου,
αὐτοὶ γοᾶσθε καὶ πικρὰν τραγῳδίαν,
τὴν πατρίδα θρηνεῖτε μητέρος πλέον,
οὓς γνησίως ἔθρεψεν ὡς φίλους γόνους,
ἂν ἡ πατρὶς καὶ ταῦτα τῶν πανολβίων,
ἂν συμφορὰς τε τὰς ὑπερτέρας πάθοι,
συγκαλέσω θρηνούσας εἰς ἐμοὺς λόγους
ὡς ὁ προφήτης συγκαλεῖται πρὸς γόους,
οὐχὶ ταπεινὰς οὐδὲ τῶν ἀγυρτίδων,
ἀλλ' ἐκ τοσούτου τοῦ πάθους καὶ τοῦ κράτους
καὶ τῆς τοσαύτης συμφορᾶς τῶν Αὐσόνων
τίνας ἐγὼ λέγοιμι τὰς θρηνητρίας;
ὅσαι πόλεις μετροῦσιν εἰς ταύτην φόρους
ὅσαι τὲ προσκυνοῦσι τὴν κράτους πόλιν,
πέμψουσι πᾶσαι θρῆνον ἐκ τῶν ἐγκάτων
ὥσπερ κεφαλῇ συμπαθοῦντα πως μέρη.
τὰς συμφορὰς ἄκουε καὶ λίθων φύσις·

11-12 Od. 1,58s. καπνὸν ἀποθρῴσκοντα ... ἧς γαίης et Schol. ad Od. 1,59 καπνὸν τῆς πατρίδος (cf. Luc. Patr. Enc. 11,5). **20-24** Jer. 9,16 Καλέσατε τὰς θρηνούσας et Jo. Chrys., Fragm. in Jer., PG 64,856,51 θρηνητρίας κελεύει πανταχόθεν γυναῖκας καλεῖν. **26** τὴν κράτους πόλιν cf. e.g. Mich. Chon. I 257,17 (Lampros) τὴν τοῦ κράτους πόλιν (cf. E. Fenster, Laudes Constantinopolitanae, 1968, Ind. s.v. κρατοῦσα). **28** κεφαλῇ συμπαθοῦντά πως μέρη cf. Sext. Emp., Adv. Mathem. V 44 (II 148,26 Mutschmann-Mau) οὐδὲ ... ὃν τρόπον τῇ κεφαλῇ τὰ ὑποκείμενα μέρη συμπάσχει καὶ τοῖς ὑποκειμένοις ἡ κεφαλή, οὕτω καὶ τοῖς ἐπουρανίοις τὰ ἐπίγεια. **29** ἄκουε καὶ λίθων φύσις cf. (Ps.-)Mich. Psell., Poem. 91,15s. (Westerink) Ὀρφικὴν ... λύραν κηλοῦσαν ... καὶ λίθων φύσιν et Man. Philes II 202,189 (Miller) Οἱ μάρτυρες νικῶσι καὶ λίθων φύσιν. Similiter Theod. Prod., Poem. hist. 60a (Hörandner) 1 Καὶ πέτρα πενθήσει με necnon Nic. Chon., Or. et ep. 22,3 (van Dieten), Od. 19,163 citans, εἰ μὴ ἐκ πέτρας ... προεληλύθει.

12 ἦν Diet **13** τῆς La: τοῖς M **22** ἐκ τοσούτου: ἐξ ὅτε M : an ἐξ ὅσου τε legendum? **24** θρηνητικάς Diet **28** συμπαθοῦντα πως La : -θοῦντα πὼς M

τὸ πῦρ γὰρ ἐσκίρτησε καὶ τοῖς ἀψύχοις
καὶ ταῖς πέτραις ἔδωκεν αἴσθησιν πάθους·
ἀήρ, ὕδωρ, γῆ, τρίπλοκος συστοιχία,
τῶν κοσμικῶν ἄκουε τραγῳδημάτων
καὶ δὸς δυνατὴν εἰσφορὰν εἰς τοὺς γόους·
τὸ πῦρ γὰρ ἐκβέβληκα τῆς συναυλίας
στοιχειακῆς τε τετράδος διαγράφω
ὡς ἄγριόν τε καὶ βιοφθόρον μόνον
καὶ μιάναν τριάδα τὴν ζῳοτρόφον
καὶ τὴν βροτοθρέπτειραν ἀχρειοῦν φύσιν.
ὕδωρ ἀνέσχε τῷ βίῳ τοὺς ἰχθύας,
M 11r ἀὴρ πετεινά, γῆ τροφῶν πανσπερμίαν·
γεννᾷ δὲ πυρὸς φύσις οὐδὲν ἐν βίῳ,
μόνον λαφύσσει τὰς ὕλας ὡς παμφάγον,
κόρον δὲ μὴ λαμβάνον ἐξ ἐδεσμάτων,
πέττει τὰ πάντα καὶ προέρχεται πάλιν
ἄσιτον, ἰσχνὸν ὥσπερ ἐκ λιμαγχόνης.
πῦρ ⟨γοῦν⟩ βορὸς θὴρ καὶ πλατύγναθον στόμα,
ἄρδην λαφύσσον πᾶν προκείμενον πάχος·
φεῦ, ἀστικὸς θήρ, φεῦ, πολιτείας λέων,
ἐρέστιος σῦς, ἐγκάτοικος πάρδαλις·
οὐ γὰρ προῆλθεν ἐξ ὀρῶν δασυσκίων
οὐδ' ἐτράφη φάραγξι ταῖς θηριτρόφοις,
ἀλλ' ἐγχορεύει τῶν πολισμάτων μέσον,
ξενίζεται δὲ δυστυχῶς κατὰ στέγας
ληστὴς φόνιος, ἀγχέμαχος ὁπλίτης,

47 πλαθύγναθον στόμα Prosuch 1,300 (p. 44 ed. Treu, Eust. Macr. aen. Progr. Breslau 1893, 49, cf. B 7) **49-50** cf. Const. Manas., frg. 29 (Mazal). **50** ἐφέστιος … ἐγκάτοικος: vocem ἐφέστιος philologi et scholiastae, inter quos Eustathius (Il. 1,286,4 van der Valk) voce ἐγκάτοικος explicare solent.

30 γαρ M **35** γαρ M **47** γοῦν vel. sim. om. M, γὰρ vel καὶ Trapp **49** ἀθήρ M **55** ἀγμάχος M

ἀφ' ἑστίας, ὅ φασι, ῥηγνύων μάχην
καὶ τοῖς ξεναγοῖς ἀμφιθήγων τὸ ξίφος·
ἀμφιφλεγῆ γὰρ ἐξανάπτει τὴν φλόγα,
ἐνθάλπεται δὲ καὶ προκολπίων μέσον
ὄφις μυθικὸς καὶ σπαράκτης καρδίας
καὶ ζωπυρεῖ τε καὶ λυπεῖ τοὺς δεσπότας·
ὦ θὴρ λαφύξας οὐ μόνον σαρκῶν πάχος,
οὐ σώματα σπαράξας ἐμψυχωμένα,
ἀλλὰ πλατύνων καὶ κατ' ἀψύχων μύλας
νεκρώματά τε συρροφῶν καὶ τοὺς λίθους·
ὡς γὰρ πολύπους ἐμφυεὶς καὶ ταῖς πέτραις
σώματος ἅπαν ἐξεμύζησας βρίθος·
οὐ πρὶν ἀφῆκας ἢ συνέθρυψας λίθους
καὶ συλλαβὼν εἰς πνῖγμα τὴν Βυζαντίδα,
πλοκαμίδων ἕλιξι τῶν σῶν ἐκτρίβεις
πολυσχιδεῖς γὰρ ἀστραπὰς ἀκοντίσας.
ὦ θηρίον Χίμαιρα, πύρπνοον θράσος,
οὐ τρικάρηνον ὡς τὰ τοῦ μύθου γράφει,
ἀλλὰ πολυκέφαλον ὑδραῖον τέρας
ὄπισθεν ἅμα καὶ μέσον καὶ πᾶν μέρος
θηρῶν κεφαλὰς καὶ δρακοντώδεις φύον,
πυκνὰς ἀνοῖγον καὶ στομάτων τὰς θύρας
καὶ πάντοθεν δάπανον ὁπλίζον γνάθον,
καθ' ἓξ τε τὰ σημεῖα τὴν ὕλην φλέγον
καὶ κατὰ τριπλῆν τὴν διάστασιν κάον·

56 ἀφ' ἑστίας Corp. Paroem. Gr. II 62,3 (Greg. Cypr. 1,63); 321,5 (Mich. Apost. 4,61); de usu apud scriptores saeculorum XI et XII v. D. Karathanasis, Sprichwörter, 1936, p. 20. **59-60** cf. Aesch., Choeph. 928; Greg. Naz., In seipsum, PG 37,1440; Const. Manas., frg. 66 Mazal (Max. Planud.); de fabula v. RE IIA 1,508. **66** Ps.-Phocyl. 49 μηδ' ὡς πετροφυὴς πολύπους κατὰ χώραν ἀμείβου. **72** de chimaera cf. Il. 6,181–182; Hes., Theog. 319–320.

58 γαρ·M **61** ζωπυρεῖται M **63** an ἐψ- legendum? **65** -τα τὲ M **66** ἐμφυής Diet **69** πνίγμα M **79** τὲ M

τῆς γὰρ πάλαι Χιμαίρας ἐκνικῶν φλόγα
Βελλεροφόντου μηχανὰς ὑπερτρέχεις
πιὸν τὸ λοιπὸν καὶ μολίβδου τὴν ῥύσιν,
ὅση κατεστάλαξε ῥυδὸν ἐκ τέγους
ὡς χειμερινὸς ὄμβρος ἐξ ὑψωμάτων·
τέθνηκας οὐδέν, οὐ συνέστειλας στόμα,
ἵππον πτερωτὸν ὑπερέπτης τοῖς δρόμοις
καὶ Πηγάσου πτέρυγας ἠνεμωμένας·
ἐν ἀκαρεῖ γὰρ τὴν Βυζαντίδα φλέγεις
διαμετρῆσαν τὰ πολύπλεθρα πλάτη
ὡς ἀστραπῆς φλόξ, ὡς κεραυνῶν ὀξύτης·
καὶ γὰρ ἐπὶ πτέρυγας ᾦχου πνευμάτων
καὶ κοῦφον ὂν ἐπῆρσο κἀκ τοῦ Καικίου.
ὦ πῦρ κεραυνοῦ, πλὴν κάτωθεν ἐκβρύον,
οὐκ ἐκ νεφῶν μέν, ἀλλὰ πυκνῆς ἐξ ὕλης,
πρηστὴρ βαβαὶ χθόνιος, ἀλλ' ἀνατρέχων
ἢ καὶ διᾴττων ἐκ χοὸς καὶ τῶν κάτω,
τἄλλα δὲ τηρῶν τὴν διᾴττουσαν φύσιν·
καὶ γὰρ τρέχει πλάγιος, ὡς πλείω φλέγῃ,
καὶ πανταχοῦ ῥεῖ καὶ πλατύνεται φλέγων,
M 11ᵛ ὡς ἀστραπὴ βροντᾷ δὲ τοῖς ῥοίζου ψόφοις·
ὅταν δὲ θυμῷ πλαγίῳ τὸ πᾶν φάγῃ,
τῆς φύσεως γένοιτο τῆς ἀνωρρόπου·
ἀνωφορεῖται καὶ πρὸς ὑψίστας στέγας
καὶ τῶν μεγάρων τὰ μετάρσια φθάνει.
ὡς εἴθε μοι λάθοιτο τῶν ἄνω δρόμων
καὶ δαπανῆσαν χοῦν γεηρὸν εἰς βάθος

81-83 Io. Tzetz., Schol. ad Lycophr. 17 (p. 16,17–18 Scheer) τὴν μὲν Χίμαιραν ἀνεῖλε μόλιβδον τῷ αὐτοῦ δόρατι ἐπιθεὶς καὶ ἐμβαλὼν τῷ ἐκείνης πυρπνέοντι στόματι. **87-88** de Pegaso similibus verbis usus loquitur Eust., Il. 3,823,3 van der Valk εἶδος … ἀνέμου … δαιμόνιον πτερωτὸν ἱπποφυές (ceterum de Pegaso v. RE XIX 1,56–62).

81 χιμέρας M **89** ἀκαρεὶ γαρ M βυζαντίδα ex βυδαντίζα M **98** τἆλλα Diet **101** δε M **104** ὑψίστους M

Ταίναρον ἐξήνοιξεν αὐτὸ πρὸς χάος.
⟨ὢ⟩ ποῖον εἰς ἔκπληξιν ἐν στενῷ γράφω
ταῖς ἑξαμέτροις συμμετρῶν μουσουργίαις,
πόθεν λάβοιμι Μοῦσαν ὑπερηρμένην
ἡρωικόν τε καὶ πλατύτερον στόμα,
ὅπερ πρὶν ἐξέφρασεν Ἑλλήνων φλόγα
σκηνὰς τεφροῦσαν καὶ τὰ τοῦ στόλου σκάφη;
βαβαὶ πόθεν πνεύσαιμι τοῦ λόγου φλόγα
πυριμενοῦς τε ῥητορικῆς ἐσχάραν,
ὡς ἀντιπνεύσω τῷ πυρὶ τῶν ἀνθράκων
καὶ πᾶν τὸ δεινὸν ἐκφράσω τῶν καυμάτων;
ὡς δυστυχὴς ἔγωγε, φεῦ, θρηνοπλόκος,
τεράστιος ῥήτωρ τις ἢ λογογράφος,
ἐμπύριός τις καὶ φλογὸς μένος πνέων·
τὸ πῦρ λαλῶ γὰρ καὶ σοφιστεύω φλόγα
καὶ πνεῦμά μοι πᾶν καὶ λόγος πυρὸς γέμει.
ὅσον πνέω πῦρ, συστενοῦμαι τοὺς λόγους,
τὰ σπλάγχνα καὶ γὰρ πυρπολεῖ καὶ τὸ στόμα·
ὅμως λαλήσω, κἂν στενῶμαι τοῖς πόνοις,
ἀντιβρέμειν γὰρ οὐκ ἔχω πυρὸς ψόφῳ,
φεῦ, μὴ πρὸς ὕδωρ, ἀλλὰ πρὸς φλόγα γράφων.
ἀναγάγω δὲ τοὺς λόγους ἀναθλίβων
εἰς λυπρὰν ἀρχὴν λυπροτάτων ἀστέρων
προοίμιόν τε τοῖς ἐπιλόγοις πρέπον
δείξω κάραν δράκοντος οὐρᾶς ἀξίαν,

109-114 Il. 16,112–125. **115-116** cf. initium orationis Stilbae ipsius (ed. Browning) Καὶ ἡ πυριμενὴς ἄρτι ῥητορικὴ τὰ ἑαυτῆς ἀνάπτει πυρσὰ ἐγκαιρότατα. Cf. Greg. Naz., Or. funebr. in Basil. 23,4 = or. 43,23,15 Bernardi: ῥητορικὴν … τὴν πυρὸς μένος πνέουσαν. **128** ad locutionem πρὸς ὕδωρ cf. e.g. Athen. Deipn. 2,20,1 ὥσπερ οἱ ῥήτορες πρὸς ὕδωρ εἰπών. πρὸς ὕδωρ *γράφειν* iocose de Demosthene Ps.-Luc., Enc. Dem. 15,7 s. Simili modo Manuel Holobolos, ed. Treu, BZ 5 (1896) 546: Πρὸς ὕδωρ λέγειν ῥήτορας ἐκεῖτο πάλαι νόμος, πρὸς ὕδωρ γράφειν ῥήτορας πάρεστιν ἄρτι βλέπειν …

108 αὐτῷ M **109** suppl.: <ὁ>ποῖον Diet **122** γαρ M **123** πνεῦμα M **127** γαρ M ψήφῳ M **129** δε M προκατάστασις in margine M

δείξω τὸν ὁλκόν, ὡς φολίδας τραχύνει,
οὐ σατυρικὴν δραματουργίαν γράφων,
ἀλλὰ τραγικὸν συγκροτῶν ὅλον δρᾶμα·
μετὰ δᾴδων γὰρ ἔσχε τὰς ἐριννύας
εἰς πᾶν σοβούσας, ἀστατούσας, πυρφόρους
σκηνὴ μεγίστη τῆς Βυζαντίδος πλάτος·
ὅσον διαγράφουσι τοῦ πυρὸς μέτρα
οἶκος μέγας χωρεῖ τε τὴν τραγῳδίαν.
Ἤδη μὲν εἶχε τὸν λύχνον τῆς ἡμέρας
ὁ τῆς χθονὸς μόδιος ἐγκρύπτων κάτω
τὸν ἀστεράρχην, ἡμεράρχην φωσφόρον,
ὡς μὴ τὰ λυπρὰ τῆς Κωνσταντίνου βλέπῃ·
ἄρτι δὲ λυχνιαῖον ἑσπέρας φάος
καὶ χειροτεύκτους λαμπάδας ἐφεστίους
τῆς γωνίας ἔκρυπτεν ἀφεγγὴς δύσις
καὶ φυλακὴν ἤλαυνεν ἡ νὺξ δευτέραν
καὶ πᾶν κατεστύγναζε τῷ βαθεῖ γνόφῳ
ὡς καὶ προδηλοῦν τὸν μεθύστερον ζόφον
ἐξ ἀσελήνων νυκτέρων μελασμάτων.
θάλαμος ἔνδον εἶχε τὰς συζυγίας,
ὁ παρθενὼν ἔκρυπτεν αἰδῶ παρθένων,
ἐν δὲ βλεφάροις νήδυμος πᾶσιν ὕπνος,
τὸν χάλκεον μέλλουσιν ὑπνώττειν κάρον.
πῦρ γὰρ παρευθὺς ἐξανεῖρπε τῶν κάτω

136 μετὰ δᾴδων ... τὰς ἐριννύας cf. Eust. Thess., Expugn. Thess. 108,30 (Kyriakidis) οἷά τις Ἐριννὺς τραγῳδική, ἔχων κατ' ἐκείνην καὶ δᾷδας. Aristoph., Plut. 423ss. Ἴσως Ἐρινύς ἐστιν ἐκ τραγῳδίας· ... Ἀλλ' οὐκ ἔχει δᾷδας. **154-155** cf. Il. 11,241 χάλκεον ὕπνον.

135 δράμα metri causa M Diet διήγησις in margine M **136** γαρ M **141** ἤδομὲν M : ἴδωμεν **142** μόνιος Diet

ἐκ τῶν προσαρκτίων τε τῆς Βυζαντίδος
καὶ τῶν πρὸς ἄρκτον κλιμάτων καὶ τῶν Θρᾴκης·
ἔνθεν μὲν ὑγρόν, ἔνθεν ἡ φλὸξ ἐκβρύει·
ἐξ ὧν ὁ χειμών, ἀπὸ τούτων τὸ φλέγον·
M 12r τέρας ἁπλῶς τὰ πάντα καὶ καινουργία
εἰς καῦσιν ἡμῶν, εἰς φθορὰν ἁμαρτίας.
ἅλμη δὲ γεννᾷ τὴν πικρὰν τρικυμίαν
καὶ Θρᾲξ ὁ βαρὺς ἐξανάπτει τὴν φλόγα·
ἐκεῖθεν ἐκ φυτῶνος ἡ φλὸξ ἐξέδυ,
ὅσπερ φυτὸν σχέδιος ἀνθεῖ καὶ φθίνει·
ἑῷος ἀνθεῖ καὶ φθίνει πρὸς ἑσπέραν
ὡς ἄνθος ἀγροῦ καὶ τὸ Λοκρίδος ῥόδον·
ἄδενδρος ἐστίν, ἀλλὰ καρποὺς ἐκτρέφει
τῶν ὡρίων τε βλαστάνει πανσπερμίαν,
ἄνθος μὲν οὐδέν, ἀλλ' ὀπώρας ἐκφύει,
παντὶ τρυγᾶται καὶ γέμει τῶν καρπίμων
ὡς Ἀλκινόου παμμιγὴς εὐδενδρία·

157-158 incendium a regione urbis septentrionali ortum esse poeta dicit. Simillimo modo Nic. Chon., Hist. 445,29 (van Dieten), incendium quoddam commemorat: πυρὸς τὸ προσάρκτιον κλίμα τῆς πόλεως ἀφανίσαντος. Utrumque scriptorem de eodem incendio loqui verisimile est (v. supra, intr. p. XIV) **168** versus prope idem est atque v. 10 carminis sepulcralis in iuvenem ὡς χόρτος ἀγροῦ καὶ τὸ Λοκρίδος ῥόδον. Verbis ἄνθος ἀγροῦ e Ps. 102,15 haustis etiam Eust. Il. 2,264,21 utitur. De Locrorum rosa, cuius mentionem facit Lycophr. 1429, cf. scholion ad locum (p. 388,4–5 Scheer) τὸ ἐν Λοκροῖς ῥόδον θᾶττον μαραινόμενον δι' ἀσθένειαν. Eadem imagine usus est Const. Manas., frg. 80,11 et 149,4 (Mazal). **173** hortos splendidos cum Alcinoi horto in Od. 7,112–132 descripto comparare scriptores solent. Cf. e.g. Theod. Prod., Poem. hist. 18 (Hörandner), 23 et Eust. Macr., De Hysm. et Hysm. I 4.

158 ἄρκτων Diet τῶν secundum ex τῆς M

δρουγγάριος δὲ κλῆσιν αὐτῷ προσνέμει.
τοῦτον φυτῶνα τοῦ πυρὸς τὸ παμφάγον
καὶ βόσκεται, φεῦ, καὶ τρυγᾷ κατεσθίον
ὡς Ἀδώνιδος ὑβρίσαν ἀκαρπίαν·
καὶ φθινόπωρον ἔσχεν οὐκ ἀπὸ ψύχους,
ἐκ πυρφόρου δὲ τῆς φθορᾶς καὶ τῆς λύμης.
ἐκεῖθεν ἐκδὺς ἐκ παραδείσου δράκων
καὶ συρίσας τε καὶ τὸν ὁλκὸν ἐκχύσας
ἕρπει τὲ καὶ χοῦν δαπανᾷ καὶ τοὺς λίθους·
εἶτα κεφαλὴν ὡς πρὸς ὕψος ἐξάρας
λυμαίνεται, φεῦ, καὶ τριωρόφους δόμους,
καὶ πῦρ κατεσκίρτησεν εἰς τὸν ἀέρα·
ἐκ τῆς θαλάττης ἐξανεῖρπεν ὁ δράκων
ὡς κῆτος ἄλλο καὶ Χαρύβδεως στόμα
καὶ πυρσὸς οὐ φίλιος ἐκ παρακτίων,
ἀλλὰ σάλους μηνύσας, ἀλλὰ ναυτίαν·
ἔκλυζε τοιγὰρ καὶ μεταρσίους στέγας
ὡς κῦμα ῥοχθοῦν, ὡς πελάγιος σάλος·
ἐξῆρτο καὶ γὰρ κατὰ κύματος τύφον,
κατακλύσαν δὲ τοὺς παρακτίους τόπους
ὡς ὑγρὸν ἅλμης ἐξεχεῖτο πρὸς πλάτος
μείζω τε τὸν κλύδωνα κατὰ γῆν βρύει·
καὶ βόμβος ἦρτο κατὰ κυμάτων ῥόθους
καὶ πῦρ παφλάζει καταποντίους κτύπους,

174 hortum in regione septentrionali prope cornu aureum situm, a quo incendium ortum est, nomen a drungario habere noster contendit (v. R. Janin, Constantinople Byzantine, Paris ^{2}1964, 346, qui domum drungarii a Niceta Choniata memoratam portae drungarii vicinam fuisse opinatur). At cf., quae Janin, Constantinople Byzantine 322s., et A. Berger, Untersuchungen zu den Patria Konstantinupoleos, Bonnae 1988, 505s., de positione horti τοῦ δρουγγαρίου dicunt. **177** proverbio ἀκαρπώτερος κήπων Ἀδώνιδος bona cito tabescentia designantur: Suda α 807; Eust. ad Od. I 438,13; Corp. Paroem. Gr. I 19,5 (Zenob. 1,41); II 140,20 (Mac. Chrysoc. 1,63); cf. D. Karathanasis, Sprichwörter 1936, Nr. 12.

181 δὲ M **193** δε M

καὶ βόμβος οὐκοῦν καὶ πυρὸς ἡ φαιδρότης
πάντα μὲν ὕπνον τῶν βλεφάρων ἐκτρίβει·
τὸν γὰρ ἀδιύπνιστον ἠπείλει βρέμον
καὶ τὸ σκότος φαιδρύναν ὡς πρὸς ἡμέραν
ἔπειθε φεύγειν τὴν κλίνην καὶ τὸν κάρον
ὡς τάφον ἄλλον, ὡς δὲ θανάτου κλίνην,
μὴ καὶ ταφεὺς φθάσῃ τις ἔμπυρος φλέγων,
ὡς τοὺς νεκροὺς ἔκαυσεν Ἑλλήνων νόμος·
κἂν ἀσέληνον εἶχεν ἡ νὺξ τὸ σκότος,
ἀλλ' ἐξανήφθη τῆς καμίνου τὸ φλέγον
ὡς πλησιφαεῖς τῆς σελήνης συρμάδες,
κἂν ἦν ἀποτρόπαιον ἐκ τῶν ἀνθράκων,
φωτισμὸς ἡ νὺξ εἰς ἐμὴν δυσποτμίαν.
ὅθεν μέσον διεῖλε τὰς συζυγίας
ἡ τοῦ πυρὸς τέμνουσα πάνθηκτος σπάθη,
πρὸ τοῦ πυρὸς δὲ καὶ τὸ τῆς φρίκης ξίφος,
καὶ σύζυγος παρῆλθε τὴν ὁμευνέτιν,
πατὴρ ἀφῆκεν ἐκδραμὼν τὰ τεκνία
καὶ τὰ τέκνα παρῆλθε τοὺς φυτοσπόρους,
τὸν δεσπότην ὁ δοῦλος ἢ φίλος φίλον·
σκότος τὸ πῦρ γὰρ τοῖς βλεφάροις ἐντρίβει
καὶ μὴ βλέπων ἕκαστος ἐξ ἄλλου τρέχει.
ὢ πῶς διερράγησαν ἔνδετοι σχέσεις·
M 12v ὅπου δοκεῖ σπεύδοντες ἐξ ἀταξίας
ἢ μᾶλλον ἔνθα καὶ τὸ πῦρ ἐπιτρέπει
κρησφύγετον ζητοῦντες ἐν τῷ κινδύνῳ
καὶ λιμένα δὲ τῆς τρικυμίας μέσον·
κἂν ἦν σάλος τὰ πάντα καὶ βαρὺς κλύδων,
ἄζωστος ἄλλος ὡς πρὸς ἀρωγὴν τρέχει,
πλὴν συμποδίζει τῆς φλογὸς τοῦτον σκόλοψ

208 ~454. **212** πάνθηκτος cf. Theod. Prod., Rhod. I 16. **226** ἄζωστος ad Hes., Op. 345 γείτονες ἄζωστοι ἔκιον alludere videtur; cf. Eust. ad Od. 1,157,30.

220 ἔνδετος σχέσις M **223** ante hunc versum versus 221 et 222 iterum scripti sunt omisso τὸ in v. 222

καὶ μᾶλλον αὐτῷ συναρήξοντος δέει.
τῷ γείτονι γείτων δὲ προσνέμει φλόγα
καὶ πῦρ ἀμείβει τὴν στέγην ἀπὸ στέγης·
ἕρπης τὸ πῦρ λοιμός τε, γαγγραίνης ῥύμη
καὶ φαγέδαινα πᾶν κατεσθίον μέρος,
πύκνωμα ῥοιᾶς τῶν δόμων ἡ πυκνότης
καὶ καθὰ κόκκους ἐξεπύρσου τοὺς δόμους
καὶ πᾶν τέγους κέλυφος ἐγκατεσθίον.
ὢ καινὸς οὗτος αἰχμαλωσίας τρόπος,
φεῦ, ἀπαγωγὴ δίχα βαρβάρου ξίφους,
σκύλευσις ἁρπάζουσα καὶ φαῦλον τρύχος,
ἀναστάτωσις δίχα τῶν ὀρυκτίδων
καὶ τοὺς λίθους κινοῦσα τῶν πυργωμάτων.
οὐδεὶς διώκει καὶ φυγὴ ταχυδρόμος,
οὐδεὶς πατάσσει καὶ στένουσι τραύματα·
ὡς δὲ ξίφος φρίττουσι τὸ κραῦρον ξύλον,
τὸ δὲ πλέον τὸν χόρτον ἐκ τῶν ἀνθράκων·
καὶ γὰρ πυρωθεὶς καὶ τραχεῖς τέμνει λίθους.
μάχη τις ἀναίμακτος ἡμῖν ἐρράγη
ἢ καινὸς ἄλλος νυκτομαχίας κρότος
ἐν πανσελήνῳ τοῦ πυρὸς τῇ λαμπάδι.
ὡς ἐν φόνοις δὲ πάντα δακρύων γέμει.
τὰ νήπια φεῦ κόπτεται ξυναυλίαν
τὸν μορμολυγμὸν τοῦ πυρὸς πεφρικότα
καὶ πατέρας ζητοῦντα σὺν ταῖς μητράσιν,
ἀφ' ὧν διεσχίσθησαν ἐμπύρῳ ξίφει·
τοῖς πατράσιν συνάμα ταῖς γεννητρίαις
διπλοῦν τὸ πῦρ ἦν εἰς ὕλην τῶν δακρύων
τὸ φυσικόν τε τῶν τέκνων καὶ τὸ φλέγον.
ἡ παρθένος ῥίψασα τῆς αἰδοῦς χρόαν,
χλωρὰν λαβοῦσα τὴν βαφὴν ἐκ τῆς φρίκης,
τοὺς γὰρ θαλάμους ὡς ἐναντίους βλέπει,
μονόπεπλος ἔδραμεν εἰς τὰς ἀμφόδους

228 συναρήσοντος M **229** δε M **249** δε M **260** an μόνῳ πέπλῳ metri gr. legendum?

ὡς τοῦτον ἁρπάσασα τοῦ πυρὸς μόνον.
ἀδελφὸς ἀπέρρηκτο τῶν ὁμοπνόων·
νικᾷ τὸ πῦρ γὰρ τῆς ἀγάπης τὴν φλόγα.
βοὴ τολοιπὸν συμμιγὴς ἀνατρέχει,
πένθος γυναικῶν, ἀλαλαγμὸς ἀρρένων,
κλαυθμὸς νεογνῶν καὶ στεναγμὸς παρθένων,
πολυμιγῶν ἕνωσις εἰς μέλος γόου,
συμφωνία Τελχῖνος ὡς τραγῳδία
καὶ σκηνικὰς στρέφουσα καυστικὰς δᾷδας
βρόμος τε πυρὸς καὶ γόος κατεκρότει,
ἐξ ἀγχιθύρου τῆς θαλάσσης οἱ ψόφοι·
τριπλοῦς ὁ βόμβος ἀκοαῖς ἐπερράγη
καὶ τῆς θέας ἦν πληκτικώτερον τέρας.
ἤστραπτεν ἡ φλόξ, συμμιγὴς ἦχει κρότος·
αἰσθήσεων ἦν ταῦτα τῶν πρώτων κλόνος
τῶν εὐχερῶν τε καὶ παθητικωτέρων·
αὖθις ἁφὴν ἔθλιψεν ἡ πυρὸς ζέσις,
ἡ δ' αὖ καπνώδης τὴν πνοὴν δυσοδμία·
μόνον τὸ χεῖλος μὴ πυρὸς γεγευμένον
τὴν ἐκ πυρὸς πέπωκεν ἅλμην δακρύων·
καὶ πεντάδα τὴν πᾶσαν ἡ φλὸξ ἐστρόβει
ὡς ἐξετέφρου πῦρ πάλαι Πεντάπολιν.
M 13r ἡ νὺξ παρῆλθεν ἐν τοσούτῳ τῷ κλόνῳ
ὥσπερ σκοτεινὸν ἄλλο Ταρτάρου κνέφας·
ἡ φλὸξ γὰρ αὐτὴ Πυριφλεγέθων νέος.

268-269 cf. Nic. Chon., Hist. 135,16–17 (van Dieten) Τελχῖνος ... τοιαύτας τραγῳδίας σκηνοποιοῦντος ... Ceterum de Telchinibus v. RE V A 1,197ss. **272-282** quinque sensus hominum igni affectos cum quinque oppidis igni destructis in Vetere Testamento memoratis comparat: **282** cf. Sap. 10,6 καταβάσιον πῦρ Πενταπόλεως quae verba ad Gen. 19,23–25 spectant. Cf. et Philonem Alex., De Abrahamo 147 συμβολικῶς ἡ πεντάπολις αἱ ἐν ἡμῖν πέντε αἰσθήσεις εἰσί. **285** Πυριφλεγέθων nomen fluvii infernalis (cf. Od. 10,513 et al.); v. 825 iterum memoratur.

263 γαρ M **278** καπνώδει Diet δυσοδμίᾳ Diet

τῆς ἑσπέρας πάλιν δὲ κλαυθμὸς ἐξ ἕω
ἐξῆρτο λαμπρῷ συναναβὰς φωσφόρῳ·
τὸν ἀστεράρχην οὐρανὸς διαφλέγει,
ἡ γῆ δὲ κάτω πρὸς τέρας ἀντιφλέγει
ἀνθήλιον χθόνιον ἐκ τῶν ἀνθράκων
ὡς μύδρον ἄλλον ἐκ κακῶν πυρεκβόλων
φωτιστικὸν μέν, ἀλλὰ πυρφόρον πλέον·
ἄνω διφρεὺς ἥλιος ὡς δρομεὺς θέει,
[ἡ φλὸξ] δὲ κάτω τοῦ πυρὸς πρὸς φωσφόρον
καὶ συνδραμεῖται κοσμικοῦ πλάτος γύρου
εἰς αἰθάλην τε καὶ σποδιὰν λεπτύνει·
ὡς πύρινος γὰρ ἁρματηλάτης τρέχει.
κἂν ἐξανύσας ἐξετέφρου τὴν χθόνα,
ἂν μὴ συνέσχεν ἀνακόψας τοὺς δρόμους
γλυκὺς Ἰησοῦς τοῦ παλαιοῦ δεσπότης
οὐράνιον στήσαντος ἥλιον πάλαι
οἴκτου σταλαγμοῖς ἡμερώσας τὸ φλέγον·
ὡς γὰρ ὁ Βορρᾶς ἐξεφύσσα τὴν φλόγα,
πτηνὴ διῆρτο καὶ τὸ πᾶν ἐπεστρόβει
νικῶσα καὶ τὰ πτίλα τῶν ταχυπτέρων,
ὀξὺς ὀιστὸς τοῦ πυρὸς τὸ παμφάγον·
τὴν γὰρ πτέρωσιν εὗρεν ἐκ τῶν πνευμάτων·
Ἕλλην θεὸς πτέρυγα καὶ δᾷδα στρέφει·
ἀλλὰ μῦθος τὸ πρᾶγμα καὶ παῖγμα πλάνης.

293 cf. Theod. Prod., Rhod. IV 243 Ἥλιε διφρεῦ ἅρματος πυροτρόχου. **299-302** tria miracula in Vetere Testamento laudata, quibus vis elementorum a Deo reprimebatur, simili modo iunguntur a Gregorio Nazianzeno (or. funeb. in Basil. 57,6 = or. 43,7,14 Bernardi: στήσας ἥλιον καὶ ποταμὸν ἀνακόψας) et a Cyrillo Scythopolitano (Vita Euthymii 23,12s.; Vita Cyriaci 223,19–22 Schwartz). **299** ἀνακόψας τοὺς δρόμους cf. Jos. 10,2. **301** cf. Jos. 10,13. **302** ad Dan. 3,50 referre videtur (cf. et 3 Macc. 6,6). **308** Mercurium designare videtur, qui in hymno Homerico in Merc. 108 ignem invenisse dicitur.

286 δε M **287** λαμπρὸς M **289** δε M **294** suppl.; spatium vacat in M **295** συνδραμεῖσθαι M **300** δεσπότου Diet

ἡμῖν δ' ἀληθῶς τῆς καμίνου τὸ φλέγον
καὶ πῦρ δᾳδουχεῖ καὶ φορεῖ πτερὸν τάχους.
ἐκ τῶν ἐπ' ἀκταῖς τοιγαροῦν περιδρόμων
ἐπὶ μέσην ἀπῆρξε τὴν Βυζαντίδα·
ἔληξεν οὐ πρὶν ἦλθεν εἰς τὴν καρδίαν,
τὸν ὀμφαλὸν δ' ἐπέσχε τῆς Κωνσταντίνου·
ὡς δεξιὸς γὰρ εὐφυής τε πυγμάχος
ἔπληξε θᾶττον εἰς μέσην τὴν καρδίαν
καὶ νεκρὰ λοιπὸν ἡ βασιλὶς ἐρρίφη.
οὐκ ἦν δέ τι πρόσαντες αὐτῆς τῷ δρόμῳ,
μικρὸν τὰ πυργώματα καὶ δόμων λόφοι·
πάντα παρεῖλκεν ὡς ποταμὸς πλημμύρων
καὶ καλάμην ἤσθιε καὶ τραχεῖς λίθους·
ὡς κηρὸν ἐξέτηκε σιδηροῦν πάχος·
οὐκ ἦν δὲ χωλὸς ὡς λαλεῖ μύθου στόμα
Ἥφαιστος ὧδε καὶ φλογὸς τὸ πυρφόρον·
ὡς γὰρ δρομεὺς διῆλθε ταχὺς τὴν πόλιν.
B 72r ὡς γοῦν τὸ παρὸν εἶχεν ἡ φλὸξ τὰ κράτη,
οἵαν ἀνῆπτε τὴν πυρὰν ταῖς καρδίαις
τῶν εὐσεβῶν πιμπρῶσα μυχίαν πλάσιν.
τίνα γὰρ οὐκ ἔπραττε τῶν ἀτασθάλων;
ὢ τῶν τροφίμων οἷα δειπνεῖ πρὸς κόρον·
ὅλους σιτῶνας ἐσθίει τὸ παμφάγον
καὶ τὴν τράπεζαν πλουσίαν παραρτύει
δρᾶγμα θερίζον ἐκ νόθων τῶν σπερμάτων
ἢ σπερμολεκτοῦν ὡς βορὸν πτηνῶν στόμα·
οἰνῶνας ἐρρόφησεν ὡς δίψαν τρέφον,
πλὴν καὶ μεθυσθὲν οὐχ' ὑπνοῖ τὸ θηρίον,

315 ignem usque ad umbilicum urbis, i.e. ad locum Μεσόμφαλος appellatum venisse noster dicit; de quo loco cf. Janin 391 et Berger 468–470. **324-325** cf. Il. 18,397; Od. 8,332. **335** cf. Ar. Av. 232s. σπερμολόγων τε γένη / ταχὺ πετόμενα.

316 δεξιός γαρ M **325** ὧδε M **327** incipit B, ante versum 327 τμῆμα τρίτον habet B **334** θερίζων MB σπερμάτων M : δογμάτων B

νήφει δὲ μᾶλλον ὡς πίνον νηφαλίαν·
χύσεις ἐλαίων εὗρεν εἰς τροφῆς ὕλην
καὶ χανδὸν ἐξέλαψεν οἰκείαν πόσιν,
ἐκ δ' αὖ γε καρποῦ – ψαλμικὴ τοῦτο φράσις –
σίτων, ἐλαίων, τέρψεως ἀνθοσμίου
ἐλαττονεῖται τῶν Βυζαντίων πόλις.
ἴδῃς κενάς τε τῶν ἀλεύρων ὑδρίας
καὶ καμψάκην ἔλαιον οὐ βλύζοντά σοι·
τοὺς ἐγκρυφίας αἰθάλη πυρὸς φρύγει.
M 13ᵛ ἂν οὐ τρέφωμεν οὐ προφήτην, οὐ ξένον,
καὶ τὴν Ἡλιοῦ συγκαλύπτομεν χάριν.
ὡς κλίβανος τὸν σῖτον ὀπτᾷ τὸ φλέγον
ἄβρωτον ἡμῖν ἐκ τοσαύτης ἀσβόλης.
θημωνίας ἔφλεξεν ὡς καύσων θέρους
εἰληθερεῖ τὲ κατὰ κυνάστρου φλόγα·
καὶ γὰρ παρ' ἡμῖν τῆς ἁμαρτίας ἄγος.
θεὸς δὲ σίτους, οὐχὶ μῦθος συμφρύγει
ὡς εἰς πόλιν πρὶν δυσπραγοῦσαν Ἑλλάδος.
ἐκ πυρὸς οἶνον κατανύξεως πίνω
καὶ κύλικα ζέουσαν ἐκ τῶν ἀνθράκων,
χολῆς σταφυλὴν καὶ πόμα τῆς πικρίας
ἐμοὶ γραφικῶς ἡ δίκη κεραννύει,
ἀνθ' ὧν μετ' αὐλῶν ἐξεκίρνων τὰς πόσεις.
Ἕλλην διηγοῦ σῆς τερατείας λόγοις
σὸν Διόνυσον ἐκ Διὸς πεφλεγμένον·
ἐγὼ τὸν οἶνον τῆς ἐμῆς πικρᾶς μέθης

341-342 Ps. 4,8 ἀπὸ καρποῦ (καιροῦ ed.) σίτου καὶ οἴνου καὶ ἐλαίου. **344-348** 3 Reg. 17,12–16; 19,6. **354-355** σίτους … μῦθος συμφρύγει / ὡς εἰς πόλιν πρὶν δυσπραγοῦσαν Ἑλλάδος ad Steph. Byz. Ethn. 346,12 Κάδρεμα, πόλις Λυκίας, … ἑρμηνεύεται δὲ σίτου φρυγμὸς ἡ πόλις referre videtur. **356** Ps. 59,5. **358** Deut. 32,32. **360** cf. Is. 5,12 μετὰ … αὐλῶν τὸν οἶνον πίνουσιν. **362** Διόνυσον ἐκ Διὸς πεφλεγμένον ad Dionysum nascentem refert. Cf. Nonn., Dionys. 8,367–9,4.

338 νηφάλια B **340** ἐξέλαψεν M : ἐξέλαμψεν B **354** μύθος MB **355** δυσπρατοῦσαν Diet **356** κατανήξεως B

θεοῦ λέγω ζέσαντα δικαίᾳ κρίσει.
ὦ θαυματουργὲ σῶτερ ἐκτρέπων ὕδωρ
εἰς νεκταρώδη καὶ γλυκάζουσαν πόσιν,
τί μὴ ψύχεις τὸν οἶνον εἰς ὕδωρ τρέπων
διπλῆν τε ποιότητα τοῦ θερμοῦ στρέφεις
εἰς ψυχρότητας τὰς ἐναντίας φύσει;
ἔλαιον ἡμῶν ἐκτραχύνει καρδίαν,
ἂν παφλάσαν παρῆλθε γαληνὴν χύσιν,
οὐ τοῖς ναοῖς φῶς, ἀλλὰ πυρὸς ἐκτρέφον
παροιμιακῶς εἴτε μὴν ἀντιστρόφως
B 72ᵛ ἔλαιον ἐκσβέννυσι χυθὲν τὴν φλόγα·
οὐ σβέννυσι γὰρ ὑγρότητος ἰκμάσι,
τῷ λιπαρῷ δὲ τῶν ναμάτων ἐκτρέφει.
ἔμαρψεν ἡ φλὸξ καὶ χρυσαργύρους ὕλας,
ἐνώτια, ψέλια χειρῶν, σφενδόνας,
ὡς ἡ κάμινος Ἰσραὴλ πρὶν ἐσθίει
καὶ μυκᾶται φαγοῦσα καὶ βοὸς πλέον·
ὕδωρ δὲ ταύτην οὐκ ἀφαντῶσαι σθένει,
ἀργύριον δ' αὖ ἐκπυρωθὲν ὡς λόγος
οὐχὶ δόκιμον οὐδὲ ῥοιζοῦν ἐξέβη,
καὶ συμπυρωθεὶς ὁ χρυσὸς ταῖς ἐσχάραις
χαλκηλατεῖται καρδιῶν ὡς εἰς βέλος·
θησαυρὸς ἀργύρων τε καὶ τῶν χρυσίων
ἄνθρακες ἐκζέοντες ἡμῖν εὑρέθη.
ὦ πῶς πλατύνω τὸ στόμα πρὸς ἐκφράσεις
ναῶν μελάθρων, δωμάτων μεταρσίων
σχόντων ἓν εἶδος ἐκ πυρὸς μελασμάτων;
μέλαθρα καὶ γὰρ καὶ σποδοῦ πάντα χρόα

365-367 cf. Joh. 2,1–11; 4,46. **374** cf. Corp. Paroem. Gr. I 345,10 (Plut. 22); Karathanasis 96, Nr. 196. **379** ὡς ἡ κάμινος Ἰσραὴλ πρὶν ἐσθίει ad Gen. 19,28 spectare videtur. **382-383** cf. Ps. 11,7. **386-387** ἄνθρακες ὁ θησαυρός Corp. Paroem. Gr. I 32,1 (Zenob. 2,1); II 9,3 (Diog. 1,52); Karathanasis 97, Nr. 198.

366 πόλιν B **369** φύσεις B **371** παφλάζουσαν M **380** φανοῦσα B **389** δωμάτων μελάθρων B

πῶς ἐκλαλήσω καὶ τίσι τοῖς ὀργάνοις;
εἰ πῦρ νεμηθὲν τὴν κρυφῇ διαρτίαν
ἐξικμάσοι στόμα τε καὶ χείλους δρόσον
καὶ δάκρυον πᾶν ἐκροφᾷ τῶν ὀμμάτων,
ὡς καὶ κλάειν θέλοντα μηδὲ δακρύειν.
φεῦ, φεῦ, ἐρυμνοὶ πυργεπάλξιδες δόμοι
ὥσπερ πόλεις ἑστῶτες εἰς μέσην πόλιν,
πῶς ἐξεπορθήθητε τῇ πυρὸς μάχῃ.
ὢ δωμάτων ὕψιστον εὔτεχνον τέγος,
ὢ τῶν μεγάλων ὑπερηρμένος τύφος,
πῶς εἰς ταπεινὴν ἐξεκυλίσθης βάσιν·
ἄορνιν εἶχες τὴν μετάρσιον θέσιν
ἀπρόσβατόν τε καὶ πτεροῖς ὠκυπτέροις,
καὶ πῶς καταπάτημα πέζαις ἐρρίφης,
πῶς νῦν κατορχῇ καὶ ποσὶ τετραπόδων;
ὢ καλλονῆς σου τῶν γραφῶν καὶ τῆς θέας,
ἣν ἀπένιψε ξηρότης, οὐχ' ὑγρότης.
ὢ τῆς κονίας τῆς βαφῆς καλλιγράφου,
ἂν ἐξαμειφθῇ πρὸς κόνιν μελαντέραν·
M 14r τὰ τῶν γραφῶν ὡραῖα πῦρ κατεσθίει,
τὸ δ' αὖ πολύχρουν ὡς χρόαν ἄνθης φρύγει.
τὴν ζωγράφον τὲ καὶ σοφωτέραν χέρα
ἤλεγξεν ἡ φλὸξ ὥσπερ ἐξ ἀτεχνίας
οὐ δευσοποιὰ χρωννῦσαν τὰ βάμματα.
τῆς αἰθρίας, φεῦ, τῶν λίθων καὶ μαργάρων,
ἂν μαρμαρύσσῃ μηκέτι πρὸς ὀμμάτων·
καπνίζεται γὰρ ἐκ ζεούσης ἀσβόλης.
ὢ λάινοι χιτῶνες οὐκ ἐκ στημόνων
δόμους ἐπενδύοντες εἰς ἀγλαΐαν,
φαιδρῶν ἐπίπλων ἐξελέγχοντες χάριν,
τανῦν δὲ γυμνὰς ἐκλιπόντες τὰς στέγας
φλεχθέντες ὡς ὕφασμα λινέας κρόκης·

393 τῇ κρυφῇ B **395** ἐκρόφᾶ M **396** μὴ δὲ MB **404** ἀπρόσβατον τὲ MB **407** καλλωνῆς Diet **409** ταῖς βαφαῖς MB Diet **416** καὶ λίθων τῶν MB **422** δε M

πλὴν ἀλλὰ καὶ χεὶρ κλεπτικὴ τῶν ἁρπάγων
ἀπεκδύει τὸν οἶκον ἐκ τῶν ἀμφίων,
τὰς μαρμάρους συλῶσα κατὰ πορφύραν.
εἰ κόπτομαι γοῦν τῶν ἐνύλων τοὺς δόμους,
πῶς οὐ δακρύσω τῶν ναῶν εὐκοσμίαν
καὶ τῆς τριάδος οὐ στενάξω τὰς στέγας,
ὡς Ἀβραὰμ σκήνωσιν, ὡς καλὰς δρύας;
φθίνουσι καὶ γὰρ καὶ μαραίνει φυλλάδας
οὐ χειμερινὴ καῦσις, οὐ μεσημβρία,
ἀλλὰ πυρὸς φλόγωσις ὑπὲρ πᾶν θέρος.
ὢ τῶν ναῶν τὸ κάλλος ἂν ὑπορρέῃ
καὶ πλημμελούντων τῶν ναῶν τῶν ἐμψύχων,
πλήττοιτο πρώτως ἡ χάρις τῶν ἀψύχων.
ὢ πῶς ἰδὼν τὰ τόξα τὴν βολὴν φύγω
καὶ τὸν τρυγίαν οὐ πίωμαι τοῦ σκύφου
καὶ σωφρονισθῶ τῶν ἀναισθήτων πάθει,
ὡς ἐκ συκῆς εἰς θαῦμα τιμωρουμένης;
οὐρανὸς ἄνω καὶ καλύπτεται γνόφῳ
καὶ νὺξ μελαίνει καλλονὴν σφαιρωμάτων,
ἀλλὰ βραχὺς ἔρρευσε τῆς νυκτὸς χρόνος
καὶ φαιδρὸς αὖθις οὐρανὸς τῷ φωσφόρῳ.
σφαῖραι κατὰ γῆν οἱ νεὼ τοῦ δεσπότου
ὡς ἀντίμιμοι τῶν ἄνω σφαιρωμάτων,
οἷς ἐξ ἀδήλου καὶ θεὸς θρονίζεται
καὶ νὺξ ἐν αὐτοῖς ἐκ πυρός τε καὶ γνόφος.
ἀμορφίας νύξ, δυσόρατος σαθρότης
ἐκτείνεται δὲ κυκλικῷ μήκει χρόνου,
τὸ δ' ἑσπερινὸν ἄλυτον τούτοις σκότος.
ἔκρυψεν ἡ νὺξ εἰκόνας ὡς ἀστέρας·
τύπος παρῆλθε φωσφόρος τοῦ δεσπότου
καὶ πλησιφαεῖς τῆς σελήνης συρμάδες,

430 Gen. 18,1 ss. **440** Mt. 21,19. **451** ἄλυτον … σκότος cf. Disc 6 **454-455** Cant. 6,9. **454** ~ 208.

424 λεπτικὴ MB **426** συλλῶσαν M συλῶσαν B **440** εἰς Diet **451** ἄλυτος M; κότος MB : ἄλυτον τούτοις σκότος scripsimus

B 73r ἣν ᾄσματα μέλπουσιν ἐκλελεγμένην,
τὰς φωσφόρους πλουτοῦσαν ὑψόθεν χύσεις
ὡς φαύσεως ὄχημα τῆς τρισηλίου.
μὴ συντελεῖται καὶ παρέρχεται κτίσις
καὶ πτῶσις ἄρτι τῶν φεραυγῶν ἀστέρων,
τυλίσσεται δὲ καθάπερ καὶ βιβλίον
οὐράνιον γύρωμα τῶν θείων δόμων,
ὡς δ' αὖ τόμος ῥέουσιν ἐκ τῶν ἀνθράκων,
ὡς νῦν παρ' ἡμῖν δεῖγμα τοῦ λόγου πλέον
πυρὸς ποταμὸς πάντας ἐκτηγανίσας.
φεῦ, ὕψος οὐράνιον ἐνθέου στέγης,
φεῦ, πῶς πατεῖται τῶν βεβήλων τῷ σκέλει
καὶ κυσὶν ἐξέρριπτο παναγὴς τόπος
ἄλλοις τὲ κυσὶ τοῖς βοροῖς τῶν ἁρπάγων·
τοῦ γὰρ πυρὸς φαγόντος ἀγρίαις μύλαις
ἐκ βρωμάτων λάπτουσι τὰς μαγδαλίας,
ἐκ δὲ τραπεζῶν καὶ τρύφη τῶν ψιχίων,
ζηλοῦσιν Ἄχαρ ἁρπαγὴν τὴν αὐθάδη
M 14v ἐν τοῖς ἀναθήμασι τῶν σεπτῶν δόμων
καὶ βριθὺν οὐ τρέμουσι τῆς δίκης λίθον.
ἐζωγράφηντο τοῦ θεοῦ τῷ δακτύλῳ
τείχη ναῶν καὶ κάλλος αὐτῶν αἰθρία·
νῦν δεξιά τις ὑπ' ἀριστέρου θράσους
μεταγράφει τὴν ὥραν εἰς ἀμορφίαν.
ὢ πικρὸν ἀλλοίωσις ἐξ ἁμαρτίας.
ἐκ τοῦ πάθους τολμῶ τι πλημμελὲς λέγειν·
μὴ τοῖς ναοῖς κάοιμεν εὐσεβεῖς φάος·
τὸ γὰρ φεραυγὲς ἐκτρέπει πρὸς πυρφόρον.
τῆς παρθένου δὲ τοὺς νεὼς οὐ δακρύσω,

458-461 cf. Is. 34,4. **467** cf. Mt. 7,6. **472** cf. Jos. 7,1. **474** cf. Lc. 17,2.

471 ψυχίων B **475** ἐζωγράφοιντο M **477** ὑπαριστέρου MB **481** καίομεν B **483** τούς: τῆς B

ὧν καπνὸς ὄμμα καὶ ψυχῆς κόρας θλίβει;
φωτὸς νεφέλη σὰς ἐτέφρωσε στέγας,
ἡ τοῦ πυρὸς πάντολμος εἰς ναοὺς ῥύμη·
καὶ ποῦ τὸ ῥεῦμα σῶν μεταρσίων δρόμων
καὶ συμπαθείας οὐρανόβλυτος δρόσος;
ἢ τοὺς παροργίσαντας υἱόν σου θλίβεις
μήτηρ τὲ πράῳ συγχολᾷς σου τεκνίῳ;
ὦ βάτε πυρίκαυστε καὶ πάλιν βάτε,
ἂν εἰκόνα σὴν τοῦ πυρὸς θράσος φλέγῃ·
καὶ μὴν ἄκαυστος ἦσθα τὸ πρώην βάτος
καὶ νῦν τεφροῖ πῶς; τὸν τρόπον ζητῶν τρέμω,
ἤ που βεβήλοις συμπατῶ μου τοῖς δρόμοις
σῶν αὐλὰς οἴκων οὐκ ἀπορρύπτων πόδας
οὐδ' ὑπόδημα σαρκικοῦ πάχους λύων
καὶ δερμάτινον ἄχθος ἐκ προσυλίας,
ὡς πρὶν θεόπτης καὶ θεωρὸς τῆς βάτου·
κἀντεῦθεν ἡ φλὸξ τυραννεῖ καὶ τὴν βάτον
καὶ πᾶν τὸ Σινᾶ τῶν ναῶν καταφλέγει,
ὡς ἐκκαθάρῃ τῶν ἐμῶν μιασμάτων.
τὸν δ' αὖ νεὼν ἐκεῖνον ἢ νεῶν χάριν
τοῖς ἐν ναοῖς ἄστρασιν ἄλλον φωσφόρον,
πόθεν στενάξω τοῖς καταλλήλοις γόοις,
ἂν ἐξετάκῃ τῷ πυρὶ τὰ δάκρυα,
ὅνπερ προεσκεύασε φαιδρότης Κύρου
καὶ χεὶρ ἐπηγλάισεν εὐσεβεστέρα;

484 ὄμμα καὶ ψυχῆς κόρας. ὄμμα ψυχῆς persaepe (cf. Plat., Resp. 533d), κόραι ψυχῆς multo rarius invenitur; cf. Athan. Al., Quaest. ad Antiochum ducem, PG 28,689 ἀπετύφλωσεν ὁ Σατανᾶς τὰ τῶν Ἰουδαίων ὄμματα, καὶ ἐπήρωσε τὰς τῆς ψυχῆς αὐτῶν κόρας. **488** δρόσος potius ad Jud. 6,36–40 (de vellere; cf. Ps. 71,6) quam ad Gen. 27,28 spectare videtur, quia vv. 483–502 de aliqua aede beatae Mariae virginis agitur (v. supra, p. XV). **491-493** Ex. 3,2. **496-499** Ex. 3,5. **503-508** templum significat, quod aedificari Cyrus Persarum rex concessit; cf. Esdr. II 1,1ss.

485 ἐτρέφρωσε M **487** δόμων B **494** πως M **496** ἀπορύπτων MB **497** ὑπόδυμα B **501** τὸν ναὸν B **507** προσεσκεύασε B

Βεσελεὴλ τε καὶ Μωσῆς συνεργάται
σκηνὴν συνεκρότησαν ἀλλὰ χάριτος
στέγουσαν ἔνδον λυχνίαν, στάμνον, πλάκα,
ἅγιον ἄλλο κοσμικόν, καθὼς γράφει,
ἂν ἡλικία καὶ φύσις καὶ πᾶν γένος
ἐμφιλοχωρῇ καὶ πατῇ τούτου πλάτη.
λιμὴν γὰρ ἦν τὸ χρῆμα τοῖς ἐν κινδύνῳ
ἢ καὶ κιβωτὸς σωστικὴ παντὸς φύλου,
κἂν οὐκ ἐπέσχε τοῦ πυρὸς τὰς πλημμύρας
καὶ κατακλυσμὸν τῆς φλογὸς καὶ τὸν σάλον –
καὶ γὰρ ποταμὸς τοῦ πυρὸς παρελκύσας,
καὶ γὰρ ἀπῆν δίκαιος ἐκ ταύτης Νῶε,
ἀφῆκε πενθεῖν εὐσεβῶν παμφυλίαν.
ἐκεῖθεν ἐξέδραμε τοῦ κλυδωνίου
περιστερά τις ὥσπερ ἠργυρωμένη
ἢ καὶ χρυσῷ στίλβουσα καὶ τῷ λυχνίτῃ
τύπος σεβαστὸς τῆς πανάγνου παρθένου
κἀκ τῆς θύρας ἐκδῦσα τῶν σκηνωμάτων,
ἣν πλατεῖαν ἤνοιξεν ὄργανον φλέγον,
καὶ τοῦ πυρὸς φυγοῦσα τὴν τρικυμίαν

509-512 de tabernaculo a Beseleel iussu Moysis confecto v. Ex. 35,30–36,1ss. **512** ἅγιον κοσμικόν Heb. 9,1. **515-521** de arca; cf. Gen. 6,14ss. **520** δίκαιος Νῶε cf. Gen. 6,9. **522-534** columbam Noe (cf. Gen. 8,8ss.) cum columbis argenteis auratis, quae in ecclesiis positae esse solebant, confert; de quibus vide Theod. Prod., Poem. Hist. 34 (Hörandner) et C. Mango–J. Parker, Dumbarton Oaks Papers 14,245. **525** columba tamquam τύπος Mariae in hymnis ecclesiae graecae haud raro canitur; cf. S. Eustratiades, Ἡ θεοτόκος ἐν τῇ ὑμνογραφίᾳ, Paris–Chennevières-sur-Marne 1930, s.v. περιστερά, ubi et epitheta περιηργυρωμένη καὶ κεχρυσωμένη, νοητοῦ κατακλυσμοῦ παῦλαν φέρουσα etc. inveniuntur. P. Magdalino (ut supra, p. XV) de imagine Mariae agi contendit.

515 λιμήν γαρ MB τὸ χρῆμα om. Diet **517** τοῦ: τοὺς M **524** ἢ καὶ χρυσῶ καὶ τῶ λυχνί[ω] καὶ τῶ λυχνίτη B **525** σεβαστὲ M **527** ἣν πλατεῖαν scripsimus: ἣν πλαγεῖαν M : ἢ πλατεῖαν B

ἀπῆρεν εἰς ὕδατα λίμνης μαρτύρων,
οὓς σχῆμα μετρεῖ τῆς δεκαπλῆς τετράδος·
πλὴν ἀνάπαυσιν εὗρεν ἡ ταύτης βάσις,
παλίνστροφον γὰρ οὐκ ἀπῆρε τὸ πτίλον,
M 15r κἄνπερ φέρῃ τὸ κάρφος εἴτε τὸν κλάδον,
ὃς ἐξανέσχεν ἐκ Δαυὶδ ῥιζωμάτων.
καὶ λῆξιν οὐκ ἔλαβεν ἡ τρικυμία·
ἔτι λαλήσω καὶ πλατύνω τοὺς γόους
καὶ μηνύσω τὸ βάθος τῶν θρηνημάτων·
καὶ δεσπότου γὰρ ἐκτεφροῖ φλὸξ τοὺς τύπους,
B 73v ὃν πῦρ κατεῖδε καὶ Μωσῆς καὶ Θεσβίτης,
ὃς ὑετὸς δρόσος τε καὶ πνεῦμα ψύχους.
ζητῶν, ἐρευνῶν τοιγαροῦν τὸ πρακτέον
καὶ τὸν λόγον τίς τοῦ πυρὸς τῶν γραμμάτων,
εὑρὼν ἀπαυδῶ καὶ γράφειν ὑποτρέμω·
τὸν γὰρ κατ' εἰκόνα με μαστίζειν θέλων,
ἀνθ' ὧν μολύνω τοὺς θεογράφους τύπους,
στρέφει τὸ τόξον εἰς τὸν ἄψυχον τύπον
καὶ τωτέως ἔπληξε χρωμάτων φύσιν,
ὡς μορμολύξῃ τὴν ἐμὴν ἀταξίαν.
εἰ γοῦν λάβῃ με πάλιν ἐν παροινίαις,
εὐθὺ τὸ τόξον ἐντενεῖ τῆς καρδίας.
ὦ πῦρ ἀναιδὲς κατὰ δεσπότου βρέμον,
ὃν ἡ τριάς σοι τῶν ὁμοστοίχων τρέμει·

529-530 de aede quadam XL martyrum agitur. **531-533** cf. Gen. 8,9–10. **534** cf. Apoc. 22,16. **539** de visionibus Moysis et Eliae cf. Ex. 3,2; 3 Reg. 18,37–38. **540** cf. e.g. Deut. 32,2; Dan. 3,50. **545** θεογράφους τύπους idem atque apud alios θεόγραφοι πλάκες vel simile (cf. Lampe s.v.) significat, i.e. tabulas legum.

530 χῦμα MB : σχῆμα scripsimus **532** παλίτροφον B **538** ἐκτρεφοῖ M : ἐκτ... B φλὸξ : ξ ex ζ M **540** ψύχος M : ψύχους scripsimus: nihil praeter ψυ legi potest in B **552** ποι B

ὕδωρ, ῥοώδης εὐδιάχυτος φύσις,
ἀνέσχε Χριστοῦ σαρκικὸν ποδῶν πάχος
ὥσπερ στεγανὸν ἐκ φρίκης τοῦ δεσπότου,
καί που ποταμὸς εἰς παλίρροιαν θέει·
ἀὴρ ἀνυψοῖ σῶμα Χριστοῦ βαστάσας
μικροῦ τὸ λεπτόσωμον εἰς στερρὸν τρέπων·
ἡ γῆ κλονεῖται καὶ βλεφάρῳ δεσπότου
καὶ θρύπτεται κόρυμβος ὑψηλῆς νάπης.
τὸ πῦρ δὲ τολμᾷς καὶ χαρακτῆρας φλέγειν,
ὧν ἡ σκιὰ ζώσιμον ἀψύχοις πνέει·
ἀλλὰ πρόνοια ταῦτα καὶ θεία κρίσις·
ἂν γὰρ κελεύσῃ, καὶ καμίνου τὸ φλέγον
Χαλδαϊκῆς ἔφριξε καὶ παίδων τρίχας·
θέλει δὲ καὶ πῦρ δαπανᾷ καὶ τοὺς τύπους
καὶ πάχος ἀδάμαντος ὡς χόρτον φρύγει.
ὡς γὰρ βασιλεύς τις περιγείου κράτους
πόλιν κολάζων ἐξ ἀτασθάλων τρόπων
θυμῷ δικαίῳ καὶ κατὰ λόγον χόλῳ,
καὶ πῦρ κατ' αὐτῆς ἀπόφασιν ἐξάγων
καὶ στήλας αὐτοῦ προτρέπει συνεκφλέγειν,
μὴ λείψανον λίποιτο τῆς ἀτασθάλου,
οὕτω κελεύει καὶ θεὸς παντοκράτωρ
τῇ κατακρίτῳ συντεφροῦσθαι τοὺς τύπους.
καὶ φεῦ τολοιπὸν τῆς ἐμῆς ἁμαρτίας,
ἂν τὸν πραῢν χόλασιν εἰς τόσην τρέπω.
μάνδρας μοναστῶν τίς λυπρῶς μὴ δακρύσῃ,

553-555 cf. Mt. 14,25; Mc. 6,48. **556** cf. Ps. 113,3 ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω; Flav. Philostr., Vita Apollonii 5,6,4 ἐπὶ τὰς πηγὰς ὁ ποταμὸς παλίρρους ἵεται. **557-558** cf. Lc. 24,51; Acta 1,9. **559-560** Hab. 3,6; Sir. 43,15. **564-565** Dan. 3,48–50.

553 εὐδιάχοτος Diet **554** ἄνεσχε B **556** καὶ M **564** κελεύσω M **565** τρίχα B **568** βασιλεὺς τίς MB **571** ἀπόφαυσιν (ex ἀπόφανσιν?) B **576** τολοιπὸν MB **577** χόλανσιν B : χόλασιν ex χόλανσιν M τρέπω scripsimus: τρέπων M, τρέπον B **578** λυπρῶς: λοιπὸν B

αἷς λύκος ἐσκίρτησε πῦρ τὸ παμφάγον;
τὰς ἀγέλας δὲ τῶν κεκαρμένων θλίβει,
ἃς λουτρὸν ἀπένιψε θερμῶν δακρύων·
καὶ νῦν κατεσχίσθησαν εἰς ὀρῶν λόφους
ῥωχμάς τε πετρῶν καὶ φαραγγῶδες χάος
καί που φαγοῦνται καὶ πόαν ζῳοφθόρον
καὶ σώματος κώνειον ἢ ψυχῆς φόνον·
τὸ γὰρ φλοιῶδες ἅπαν ἡ φλὸξ ἐσθίει,
ὡς ἄγριος σῦς, ὡς ἀνήμερος λέων
τοὺς δεσποτικοὺς ἀμπελῶνας εἰστρέχει,
φραγμοὺς καθαιρεῖ καὶ τρυγᾷ σύμπαν θράσος.
ὁ σῦς παρῆλθε καὶ μονιὸς ἐκθλίβει·
τὸ πῦρ γὰρ ἀπῆν καὶ παρῆν χεὶρ ἁρπάγων.
ὢ πνευματικῆς σίμβλα φιλεργασίας
M 15v ἡμῖν γεωργήσαντα πικρίας χύμα
ἐξ ὧν ὁ καπνὸς καὶ δριμύτης ἀνθράκων·
σμῆνος μελισσῶν ἐξελαύνει μακρόθεν,
σμῆνος φιλεργὸν καὶ πονοῦν τὰς συνθέσεις
τῆς ἑξαγώνου παντελοῦς χρηστουργίας,
ἀφ' ἧς τε δειπνεῖ καὶ Χριστὸς τρυγῶν μέλι.
βαβαὶ καλιαὶ τρυγόνων τῶν σωφρόνων,
ὕλης γὰρ ἐκρήγνυσιν ἔνθεος πόθος,
εἰς ἃς ὑφέρπων καὶ συρίζων ὁ δράκων
πτερὸν λύειν ἐπῆρεν εἰς ἐρημίαν
καὶ πρὸς δρυμώνων ἐξελᾷ δυσκαρπίαν.
κενῶ τὸ πένθος καὶ πάλιν ἐπιρρέει

587-590 cf. Ps. 79,9.14 **592-598** cf. Theod. Stud., Cantica II 4 (ed. J. B. Pitra, Anal. Sacra I, Parisiis 1876, 339) Σὺ προῆλθες ὡς ἐκ σίμβλων τῆς γαστρὸς ὁ φιλεργάτης. **598** cf. Is. 7,14s. **599** cf. Cl. Ael., De nat. an. X 33 σώφρων ἐστὶν ἡ τρυγών. Ephraem Syrus, De monachis (ed. K. Phrantzoles, Ἐφρ. τοῦ Σύρου ἔργα V, Thessalonike 1994, 251–254) 1 ἡ τρυγὼν ὄρνις ἐστὶ σώφρων.

580 δε MB **582** φλόφους M **584** φανοῦνται B **589** πάμπαν B **590** σὺς M **594** καρπὸς B **599** σοφρόνων Diet **600** γαρ MB **604** ante versum τμῆμα τέταρτον habet B

καὶ τὰς φλέβας ηὔρυνε τῶν στεναγμάτων·
ἀντλοῦμεν ἄλλην, ἣδ᾽ ἐπεισρέει πάλιν,
ἀεὶ κολωνὸς τῶν γόων ἐξαίρεται.
ἐκεῖνο καὶ γὰρ τίσι τοῖς θρήνοις φράσω
καὶ πῶς στενάξω τοὺς ἐμοὺς ὁμογνίους;
τῶν ἀψύχων δὲ μὴ στέγων τὰς ἐκβράσεις
τῶν ἐμψύχων πῶς καρτερήσω τὴν φλόγα;
τὸ πῦρ γάρ, ὡς ἔοικε, μὴ λαβὸν κόρον
ἐκ τῶν τοσούτων ἀψύχων ἐδεσμάτων,
τοῖς ζῶσιν ἐξήνοιξε πεινώσας γνάθους
καὶ κατεμασσήσατο σάρκας ἐμψύχους.
ὢ πῶς πνέουσιν ἐκφράσω τοῖς ὀργάνοις
τῶν πυρικαύστων ἐκπνοὴν ὁμοσπόρων;
ἔσπαιρον ἰχθῦς ὥσπερ ἀνθράκων μέσον,
χεῖλος δακόντες, ἡ λαλίστερος φύσις,
κἂν που λαλῶσιν ἐκμελέστερον σκάρου·
δελήτιον γὰρ ἔσχον ὑπὸ τοῦ πλάνου
B 74r τὸ χρῆμα σῶσαι καὶ τὸ τέκνον ἁρπάσαι,
οἷς καὶ συνηρπάγησαν εἰς πυρὸς ῥύμην
ὥσπερ χέρα διδόντες ἐν τρικυμίᾳ.
τοὺς φιλοκερδεῖς οὐδὲ γὰρ τόσον στένω
τοὺς αὐτόθεν λαβόντας εὐθὺς τὴν δίκην·
ὢ πῶς δινοῦσιν ἐν πυρὶ τὰ σαρκία
πικρὰν δίνησιν ὡς στεναγμοῦ πυρρίχην·
ὢ πῶς κατωρχήσαντο τῆς φλογὸς τότε
Σαρδῴαν ἐξόρχησιν οἴκτων ἀξίαν
ἢ καὶ τραγικὰς σὺν στροφαῖς ἀντιστρόφους·
καὶ γὰρ τὸ λάβρον συμπιέζον τοὺς πόρους

620 de scaro pisce solo non muto v. Arist. apud Athen. VIII 331d; cf. Opp., Hal. 1,134. **630** de risu Sardonico cf. Sudam Σ 124; Mich. Apost. XV 35 (Corp. Paroem. Gr. II 638); Karathanasis, Nr. 76.

608 ἐκεῖνος B **609** στενάζω M **610** ἐκφράσεις B **619** δακέντες Diet **620** ἐκμελέστεροι B **629** κατορχήσαντο Diet **632** λαῦρον B

καὶ ξηρότητι νεῦρον ἅπαν συνδέον
ὠθεῖ σπαράττειν τῶν μελῶν τὰς συνθέσεις·
εἶτα τὸ λεπτόσωμον ἔνδον εἰσδύνον
ἐκβόσκεται πᾶν καὶ τὸ σύνδεσμα λύει·
εἰς κλάσιν, εἰς ἔκλυσιν ἄρυθμον τρέπον
τὸν φθόγγον ἄχρι τῆς πνοῆς ἀπαμβλύνει·
καὶ σῶμα τετράχορδον εἰς φθορὰν λύσει,
ἄνπερ τὸ πλῆκτρον ἐμβριθέστερον κρέκῃ.
ὢ μουσικὴ νικῶσα καὶ λίθων φύσιν
ὡς Ὀρφαϊκή, πλὴν πρὸς ὁρμὴν δακρύων.
ἐσπαργάνου πῦρ ἀθλίως καὶ τὰ βρέφη
καὶ κειρίαις ἔσφιγγε ταῖς νεκροστόλοις
δράκων τε καυτὴρ ὡς νεοσσοῖς ἑρπύσας,
ὡς ἐν καλιαῖς τοῖς λίκνοις ἐπεστρόβει,
ἓν εὐτυχοῦντα συμφοραῖς ἐν ἐσχάταις
τὸ μὴ φρονεῖν νοῦν ἐν τοσούτῳ κινδύνῳ·
ὁ πρεσβύτης πέπονθε ταὐτὰ τῷ βρέφει
ὡς εἰς βρεφικὴν ἐκστραφεὶς ἀνανδρίαν
ἕρπων κατὰ γῆν καὶ φυγὰς οὐχὶ τρέπων,
ηὔχει δὲ τὸν νοῦν πρόσθεμα τῆς πικρίας.
ἐν λαγόσιν ἔφλεξε μητρῴαις τόκους
ὡς ἀστραπῆς φλὸξ μαργάρους ἐν ὀστρέῳ,
M 16r ὡς πῦρ κεραυνοῦ πολλάκις καταφρύγει
τὸν καρπὸν ἅμα τῷ φυτῷ καὶ τοῖς κλάδοις
καὶ λέμματι τὸν σῖτον ἐγκαταφλέγει,
καὶ πατέρα συνέσχε τὸν φυτοτρόφον,

639 σῶμα τετράχορδον: Basil. Caes., De virg., PG 30,688, corpus humanum ut e quattuor elementis harmonice compositum cum tetrachordo comparat. **641-642** v. supra ad v. 29. **645** cf. Il. 2,308–314, quo loco et Mich. Chon. II 364,22–24 (Lampros) usus est. **653-660** de partu conchae a fulmine deleto cf. Orig., Comm. in ev. Mt. 10,7.

635 εἰσδῦνον B **636** σύνδεμα M **637** ἔκκλυσιν B τὸν ῥυθμὸν B τρέπον ex πρέπον M **638** ἀπαμβλύνη M **640** ἐμβιθέστερον MB **645** δὲ B **646** τ[αῖς] λίμν[αῖς] B ἐπεστρόβει, cf. v. 304 M : -στόβει M, -σόβει B **651** γῆς MB **652** ηὔχει: legi non potest in B **657** ἐν- M

καὶ πρὶν ἰδεῖν φῶς ἀντεκέρδαναν σκότος
πικρόν τε τάφον δυστυχῆ τὴν γαστέρα.
πατὴρ δὲ τριπλῶς σφάττεται τῷ κεντρίῳ
βλέπων ἑαυτόν, τὴν τροφὸν καὶ τὸ βρέφος
ὡς οἶκον ἄλλον συμπατοῦντας τὸν τάφον
καὶ δυστυχοῦντας τὴν πικρὰν συναυλίαν,
φλογὶ ῥαγέντας καὶ λυθέντας εἰς κόνιν,
σπαρτίον ὡς ἔντριτον ἐκ πλοκῆς πόθου,
καὶ συμπλακέντας καὶ χερῶν τῇ συνδέσει.
ὡς δ' ἦν ὁ θὴρ λαίμαργος ἐξ ἀπληστίας
σὺν δεσπόταις τὸν ἵππον ἢ καὶ τὴν στέγην
καὶ πᾶσαν ἄλλην κτῆσιν ἐγκατεσθίει.
κἂν ἐν γραφαῖς δράκοντα καὶ τύποις βλέπω
αἴνιγμα τοῦδε τοῦ πολυπλάνου βίου,
ὡς πρῶτον ἵππον, δεύτερον τὸ τεκνίον,
τρίτην γυναῖκα, τέταρτον τὸν δεσπότην
ἔμαρψε χανδὸν καὶ πλατυτέραις μύλαις,
ἐλπίσι συλῶν καὶ χρυσοῦ καὶ μαργάρου,
αὐτὸς λέγω δράκοντα τὴν πυρὸς φύσιν·
πλὴν οὐ μερίζει τὰς τροφὰς ὁ παμφάγος,
ὁμοῦ δὲ δειπνεῖ καὶ σπαράττει ταῖς γνάθοις
ἵππον, τέκνον, σύζυγον, ἄνδρα καὶ στέγην.
ὢ πικρὰ μίξις, ἂν τελευτᾷ πρὸς λύσιν
τὴν ἐν στέγῃ τε σκευαγωγίαν βίου.
ὢ δάπανον πῦρ, ὢ νικῶν εἰς τὸ φλέγειν
τὴν παφλάζουσαν Ἐμπεδοκλέους φλόγα,
ἂν μὴ παρῆκε δεῖγμα τῶν κεκαυμένων

666 Eccles. 4,12. **683-687** ad narrationem de morte Empedoclis, ut a Gregorio Nazianzeno, Carm. ad Nemesium 281–285, PG 37,1573A (cf. in primis v. 283 σάνδαλ' ἀποβράσσαντες), tradita est, refert. Cf. et Strab. VI 2,8.

660 δυστυχεῖ MB **661** σαρκίῳ B **665** λιθέντας B **667** συμπλακέντες M : συμπλακένᵀ B χερῶν B (melius metri gratia): ει in M ex corr. **669** ἵππον: οἶκον B **670** κτῆσιν scripsimus: κτίσιν MB **671** βλέπων B **683** δάπανος B

οὐκ οἶκον, οὐ χιτῶνας οὐδὲ σανδάλους,
εἰς δὲ σποδὸν τὰ πάντα καταλεπτύνοι.
ὢ πλουσίους πῦρ καὶ πένητας συμφλέγον
καὶ τοὺς καθ' ἡμᾶς τηγανίζον Λαζάρους·
οὐκ ἀπόρους γὰρ ἡ πυρὰ μόνη θλίβει
ἢ μεῖζον εἰς φλόγωσιν, εἰς καυτηρίαν.
ὁ πλούσιος γὰρ καὶ λαλεῖ τι καὶ πνέει
νοτίδα διψῶν τοῦ δροσιστοῦ δακτύλου.
ἐνταῦθα νεκροῖς οὐ λαλοῦσιν ὀργάνοις,
κἂν τι δὲ καὶ φθέγξαιντο, λεπτοὺς ἐκ βίας
καὶ ψυχαγωγοὺς ἐκκαλοῖντο δακτύλους
τῆς κοσμαγωγοῦ δεξιᾶς τοῦ δεσπότου.
τὸ χάσμα μακρὸν οὐρανοῦ καὶ γῆς μέσον·
κἂν πλημμελῶμεν, χασματοῦται καὶ πλέον
καὶ τέφρα λοιπὸν ἀδρόσιστος ἡ πλάσις.
πῶς οὐ στενάξω τῶν ὁμοτρόφων πάθος;
ἂν σαλαμάνδρα, φαῦλος ἐν ζῴοις πλάσις,
B 74ᵛ ἔφυγε καῦσιν φυσικῆς ἀπὸ δρόσου
καὶ κατατρυφᾷ τῶν ζεόντων ἀνθράκων,
μέγα δὲ χειρῶν πλάσμα τοῦ παντεργάτου
(ὁ καὶ βασιλεὺς καὶ κρατῶν τῶν κτισμάτων
καὶ σαλαμάνδρας ὡς χρυσὸς τῶν ἀνθράκων),
οὐχ' ὑπερέσχεν οὐδὲ τῆς θρυαλλίδος
μύρμηκος ἥττων εὑρεθεὶς εἰς τὸ φλέγον.
ὢ Φοίνικος δύναμις ὡς τεραστία,
εἰ ζῇ καμίνῳ καὶ νεάζει τὰ πτίλα
καὶ τίκτεταί πως ἀπὸ γαστρὸς ἀνθράκων.
ὁ δ' αὖ μέγας ἄνθρωπος ὡς πτερὸν φθίνει
ἐναπολειφθεὶς ἀνθρακιᾶς ἐν μέσῳ.

689-693 Lc. 16,19–24. **702-704** cf. Aristot., HA 552 B 16; Theophr. 60 (Gercke); Const. Manas., frg. 11,7–8 (Mazal). **710** cf. Physiol. c. 7; Io. Tzetz., Hist. V 387–398.

690 μόνον B **695** φλέξαιντο λεπτὸν B **696** ἐκλαλοῖντο B **699** χάσμα τοῦτο Diet **708** οὐδὲ M : [οὐ]χί B **711-728** La **712** πῶς MB : πᾶς La

ἡ φλὸξ ἐπεστράτευσε καὶ φρουρημάτων
καὶ τῶν Ἰταλῶν τὴν πανοπλίαν τρέπει
M 16v ὀξὺ πυριμάλακτον ἀφεῖσα βέλος·
καὶ θωράκων εἰσδύνον εἰς λεπτουργίαν
τούτων μαλάττει καὶ χαμαὶ κατακλίνει
σιδήρεον τράχηλον ἐκ φιλαυτίας,
ὡς δ' ἀπαλὸν μόλιβδον, ὡς κηρὸν λύει.
πάροικον ἦν τὸ φύλον οὐκ Αἰγυπτίοις,
ἐν εὐκλεεῖ δὲ τῶν Βυζαντίων πόλει·
ὅμως καμίνου γεύεται σιδηρέας
καὶ πυρπολεῖται φθαρτικῶν ἐξ ἀνθράκων
καὶ ψηλαφητὸν νύκτερον σκότος βλέπει
καὶ πρωτογεννῶν ὑστάτων μέσων φόνον.
βαβαὶ διπλοῦν αὔχημα τοῦ πρώην νόμου
στύλος τε πυρὸς καὶ νεφέλης ὁ γνόφος,
ἡμῖν δὲ δυσπράγημα διπλοῦν ἀρτίως.
ὢ στύλος ἄλλος οὐ πυρὸς σελασφόρου,
πάντα δὲ συντεφροῦντος ὡς καὶ παμφάγου.
ὢ τοὺς καθ' ἡμᾶς Ἰσραηλίτας φλέγον,
κἂν νυκτὸς αὐτῆς ἐξεκαύθης εἰς μέγα,
φεῦ ἡμερινῆς νεφέλης καὶ τοῦ γνόφου,
ἣν ἀτμὶς ἐστήριξε καπνώδους πάχους
ὑπὲρ κεφαλῆς τῶν κατατεφρουμένων
οὐδὲν καταστάζουσαν ἱλαρᾶς δρόσου,
ἀλλ' ἀστραπῆς κύουσαν ἔμφλογον βέλος.
κἂν δίψος ἐκ καύματος Ἰσραὴλ τρέφῃ,
οὐ πέτρα πηγάζουσα τὴν πόσιν βρύει·

717 πυριμάλακτον etiam apud Const. Manas., frg. 102,4 (Mazal). **722-725** Deut. 4,20; Jer. 11,4. **726** Ex. 10,21. **727** Ex. 11,5. **729-735** Ex. 13,21–22. **738** cf. Jud. 5,4 αἱ νεφέλαι ἔσταξαν ὕδωρ. **740-741** Ex. 17,1–6.

715 φρουρημάτων B : φρακτιένει et supra lineam Λατίνων M **718** ἐσδύνον ἐς B **721** ἁπαλὴν La **722** φύλον: φυον B (lambda et accentus supra lineam perditi) **723** δε MB **724** δεύεται M **729** τὲ MB **730** δε MB **738** κατασταζούσης M

τὸ πῦρ γὰρ ἐξέλαψε καὶ τὰς ἰκμάδας
καὶ τοὺς λίθους, φεῦ, εἰς σποδιὰν λεπτύναν.
μερρὰ τὰ πάντα καὶ χυμὸς τῆς πικρίας.
ἔρημον οὖν ἀφῆκεν ἐκ τῶν καυμάτων,
ἄβατον οὖν παρῆκεν ἐκ τῶν θραυμάτων
τὴν πρὶν καλοῖς βρύουσαν εὐκλεῆ πόλιν
καὶ κῶλα πολλῶν συμπεσόντων ἐφθάρη.
ὢ πῦρ Βαβυλώνειον εἰς γῆν Αὐσόνων,
κάμινος ἐξαρθεῖσα πρὸς τὸν αἰθέρα,
ἣν πίσσα καὶ στυπεῖον ἢ κληματίδες
καὶ πᾶν πυρὶ τρόφιμον ἐξαναφλέγει.
ταῦτα γὰρ ἐστοίβασεν ὄλβος ἐμπόρων
ὠνούμενος, φεῦ, τὴν φθορὰν τῆς πατρίδος.
πῶς οὐδὲ παίδων οὐδ' ἐπανθούντων γνάθους
οὐδὲ βρεφῶν ᾤκτισας ἁπαλὴν πλάσιν
καὶ τὰ κύκλῳ δὲ πάντα συγκαταφλέγεις;
ὢ Σικελοὶ κρατῆρες, Αἰτναῖαι φλόγες,
Βυζάντιοι νῦν ἔκποθεν τεραστίου·
πῶς ἄρα παφλάσαντες εἰς ὑπερβλύσεις
οὐ Κατάνην καί τινα τῶν κωμυδρίων,
ἀλλὰ τεφροῦτε τὴν περίκλυτον πόλιν;
ὢ δόγμα καὶ τέρθρευσις ἐξ Ἡρακλείτου
τεφροῦν ἅπασαν ἐκπυρώσει τὴν κτίσιν.
φεῦ, εἰ παρ' ἡμῖν ἄρτι λαμβάνεις κράτος
ὡς ἐκπυρῶσαι τῆς Βυζαντίδος πλάτη.
καὶ τῶν ὑγρῶν δὲ κατακρατεῖ τὸ φλέγον,
οὐ σβέννυται γὰρ οὐδὲ ῥείθροις ὀμβρίμοις·

744 Ex. 15,23. **748** Num. 14,29.32. **749-751** Dan. 3,46. **758-761** cf. Thuc. III 116,1. **762** cf. supra ad v. 2. **763-764** de Heracliti dogmate cf. Aristot., Phys. III 5,205 A 3.

742 ἐξέλαμψε B **743** λεπτύνας B **746** αὖ B θρασμάτων B **751** ἢ B: καὶ M **753** ἐστίβασεν B **757** κύκλα B: an κύκλωσε legendum? **758** Σικελὸς M **761** κωμιδρίων M : καμιδρίων B **764** κλίσιν B **766** ἐκπυρῶσαν B

καὶ μὴν τυραννεῖ καὶ τὸν ἀέρα φλέγει
καὶ μὴν καταρχὴ κοσμικῆς φθορᾶς τόδε,
μὴ καὶ λύσις πάρεστι τῶν ἐν συνθέσει.
ὢ πρόδρομον πῦρ τῆς φλογὸς τῆς ἐσχάτης
τοῖς πλημμελοῦσι μορμολυγμὸν ἐκβρύον.
ὢ πῦρ φλογίνης, ἄλλο ῥομφαίας ξίφος,
τοῖς παραδείσοις τῶν ναῶν κλεῖσαν θύραν·
τούτους γὰρ οὐδεὶς εἰστρέχει τεθραυσμένους,
M 17r μέσοις δ᾽ ἐν αὐτοῖς πάλιν ἑρπύει δράκων.
ὢ πῦρ Σοδόμων εὐσεβεῖς καταφλέγον,
οὐκ ὄμβριμον πλήν, ἀλλὰ χαμόθεν βρύον,
ὑφ᾽ οὗ τεφροῦται καθάπερ Πεντάπολις
ἑπτάλοφον πόλισμα Βαβυλὼν νέα.
λῆρος Φαέθων καὶ βραχὺ μέρος φλέγει
καὶ τὸν μύθον νικῶμεν ἐκ τῶν πραγμάτων·
ἐνταῦθα πυρὸς ἅρμα τὰ πάντα φλέγει.
σὺν πρεσβύταις θρηνοῦσιν εὐφυεῖς κόραι·
ἂν συμπαθὴς καὶ μᾶλλον αὐτῶν ἡ φύσις,
B 75r Ἡλιάδων φοροῦσι τὴν ἀσαρκίαν
καὶ τῷ πόνῳ νεκροῦσι τὰς σφῶν καρδίας·
ὅμως τὸ δάκρυ καθαρὸν ταύταις δάκρυ.
θέλω κοπάσαι τὴν πικρὰν τραγῳδίαν,
ἀλλὰ μέγα τὸ δρᾶμα καὶ μείζω στένω,
οὐ Θήβαν ἑπτάπυλον ἀφορμὴν ἔχων
vacat
πλὴν οὐχὶ Δίρκης εὐποροῦσαν εἰς δρόσον,
οὐχ᾽ ἥνπερ Ἑλλάς, Ἴλιον πρὶν ἐκφλέγοι,

769-770 cf. Apoc. 8,7. **774-775** Gen. 3,24. **778-779** Gen. 19,24. **780** Sap. 10,6. **781** cf. E. Fenster, Laudes Constantinopolitanae, 1968, Ind. s.vv. ἑπτάλοφος et Babylon. **782-788** de Phaethontis mytho v. RE XIX 2,1508–1515. **792** cf. Il. 4,406.

773 μορμολυγμὸς MB **778** σοδόμον ἀσεβεῖς B **784** ἅρματα Diet **786** συμπαθεῖς MB **793** versus deest in M, legi non potest in B **794** post versum spatium unius versus vacuum habet B

πόλιν μυθικοῖς τοῖς θεοῖς πυργουμένην,
θεὸν δ᾽ ἐπ᾽ ἀκρόγωνον ἑδραίαν λίθον,
τὸν καὶ θαλάττης δεσπότην καὶ φωσφόρου.
ἐπὶ μεγίστοις τοιγαροῦν μείζων γόος.
ὢ πικρὰ μοῖρα τῆς νέας Ῥωμαΐδος·
προάγομαι γὰρ ἀστεροφρόνων λόγους
καλῶς λαλῆσαι τῷ πόνῳ νικώμενος.
πόθεν γὰρ εὗρες τῶν φλογισμάτων τύχην,
ὡς ἀπὸ ταύτης ἐκτριβῆναι τοῦ βίου;
τάχα θεμέθλων σῶν κατεβλήθη βάθος,
ζώνην θέοντος Ἡλίου κεκαυμένην
παρατραπέντος ζῳδιακῆς ἐκ τρίβου,
ἢ τῷ κυνάστρῳ συμπαρῆν ὁ φωσφόρος
ἄλλοις τὲ τισὶ φλεκτικοῖς τῶν ἀστέρων·
ἀπῆν δὲ μακρὰν ψυχροσωμάτου Κρόνου
ὑγροῦ τε κύκλου τῶν σελήνης συρμάδων·
καὶ γὰρ ἐχρῆν ἄτριπτον εἶναι τὸν δρόμον
καί τινα καινὸν ὡς παράδοξα πλέκῃ,
τῶν λιμένων πέρι δὲ τῶν εὐαγκάλων.
τί γὰρ λαλήσω τῆς καλῆς Βυζαντίδος;
πρώτους γὰρ αὐτοὺς ἐκτεφροῖ τὸ παφλάσαν
τὰς ἀγκάλας κυκλῶσαν ἢ προσφὺν βίᾳ

796 cf. Il. 7,452; 21,436; Pind., Ol. 8,30. **797** cf. Is. 28,16; 1 Petr. 2,6. **808** de diebus canicularibus cf. e.g. Nic. Callicl. 37,33 s. καὶ γὰρ κύναστρος ἡλίῳ παρατρέχει ὅσπερ καταίθει πᾶσαν ἄρδην τὴν χθόνα. **810-811** Κρόνος apud astrologos stella frigida, luna autem humida habetur (v. RE XI 2,2011 s.). E permultis locis, qui facile in Thesauro Linguae Graecae reperiuntur, liceat memorare Heph. Theb., Apotelesm. 193,29 (Pingree) ὁ δὲ τοῦ Κρόνου ψυχρὸς τὴν Σελήνην ὑγράν, et, ut afferamus exemplum aetatis Byzantinae, Io. Camat. 284 (Weigl) Κρόνος δὲ πάλιν ὁ ψυχρὸς καὶ ξηρότατος φύσει.

798 φωσφόρον B **814** πέριδε MB **814-837** La **816** αὐτὴ B **817** ἢ πρὸς φῦν B, inter ἢ et βία spatium 4–5 litterarum vacuum in M

καὶ κόλπον αὐτῶν ψηλαφῆσαν εἰς βάθος·
ὡς νῦν ἐχρῆν μέλασιν ἱστίοις πλέειν
καὶ κατάραι τὰς νῆας ἐς τὸν λιμένα
δεῖξαί τε τῷ σχήματι τὴν τρικυμίαν
ἢ μὴ κατάραι μὴ δὲ προσχεῖν ἀγκύραις.
σπιλὰς γὰρ αὐτοῦ καὶ κῦμα τῶν καυμάτων
καὶ ζεῖ τὸ ῥεῖθρον ὡς τὸ τοῦ Ξάνθου πάλαι
καὶ Πυριφλεγέθοντος Ἕλληνος λύσις·
ὡς πρὶν Ἀχαιῶν ναύσταθμον πῦρ ἐκφλέγει,
νεώρια νῦν πυρπολεῖ Βυζαντίων.
χρὴ μὴ κατάραι, μὴ προσορμίσαι σκάφη,
μὴ καὶ φρυγῶσιν Ἀττικὸς καθὰ στόλος
ἐκ πυρὸς ὑγροῦ, κἂν φύσιν ξηρὰν λάχοι·
φρυκτὸς γὰρ ὧδε φθαρτικὸς τοῖς ναυτίλοις,
ὃν ἐξανῆψε τοῦ Παλαμήδους φίτυς
ἐν λιμένι πρὶν εἰς ὄλεθρον Ἑλλάδος.
χρὴ μὴ προσίσχειν τὰς πολυφόρτους νέας,
M 17v ἡμᾶς δὲ διπλῆν τῶν κακῶν λύμην στένειν,
τὸ καυστικὸν πῦρ καὶ λιμὸν τὸν πυρφόρον
πάντων ἀπόντων φθαρτικῶν ἀγωγίμων.
ὢ βδέλλα μικρὰ τῆς θαλάσσης ἐκδῦσα,
εἶτα τραφεῖσα τῆς Ἐχίδνης εἰς πλάτος
καὶ πρὸς δρακοντόμορφον ἐκβάσα τέρας.
ὢ πῦρ καμινιαῖον ἐκ θρυαλλίδος,
βαβαὶ Χιμαίρας μῆκος ἐκ λαμπυρίδος,
ὢ κόκκος ἐκφὺς μυριοπληθὴς στάχυς,

819 cf. Hygin., Fab. 41. **824** cf. Il. 21,324. **825** cf. v. 285. **826-829** cf. Il. 15,743; 16,80. **827** νεώριον nomen portus ad cornu aureum siti est; cf. Janin 235s., 396s.; Berger 428–430. **831-835** Dio Chrys. 13,21. **843** Jo. 12,24.

818 κόλπον αὐτῶν scripsimus: κόλπον αὐτὸν ex κόλπων αὐτῶν M : κόλπων αὐτῶν B **819** ἱστίας B πλεύσειν La **821** δεῖξαι τὲ MB **822** μὴ δὲ MB **826** πρὶν M : πῦρ B νάσταυθμον B : ναύσταθμος La **832** ὃν scripsimus: ἂν MB **834** νῆας La **839** γραφεῖσα B

ὢ σπέρμα μικρόν, ὢ σινάπεος σπόρος
εἰς ὑψιθαλεῖς ἄρας ἀναδενδράδας,
ὡς καὶ καλύψαι τῇ σκιᾷ τὴν Αὐσόνων,
ἣν σκιὰν Ἅιδου καὶ θανάσιμον βλέπω.
σημεῖον αὐτὸς τὴν πυρὸς θρυαλλίδα
καὶ κέντρον ἀμέριστον ἐκμαθὼν λέγω,
ᾧ κύκλος εὐρὺς τοῦ πυρὸς διεγράφη,
χώρημα πολλῶν καὶ ναῶν καὶ κτισμάτων·
οὐχ' ὡς πυραμὶς ἦλθεν εἰς ὕψος μόνον,
εὐρύνεται δὲ καὶ τυραννεῖ τὴν φύσιν.
μικρὸν τὸ πῦρ τὰ πρῶτα, πλὴν ἐν ἐσχάτοις
κορύσσεται, φεῦ, ἐξ ὕλης πυριτρόφου,
μαῖνον κατὰ γῆν οὐρανῶν ψαύει πλάτους·
φεῦ, μάχεται πῦρ τῷ πυρὶ καινὴν μάχην,
πῦρ ἄψυχον τῷ ζῶντι καὶ πνέοντί μοι,
καὶ πῶς διδάξω τῆς ἐμῆς ἧτταν μάχης;
πυρὸς φύσιν ἔλαχεν ἡ θνητῶν φύσις·
ἐκ γὰρ ἑνὸς καθάπερ ἐκ θρυαλλίδος
ὅλη κάμινος τοῦ γένους ἀνάπτεται.
εἷς Ἀδάμ, ἀλλ' ἐκεῖθεν αἱ πανεθνίαι.
κἂν ἡ θρυαλλὶς εὗρε θανάτῳ σβέσιν,
τὸν γοῦν Ἀδὰμ πῦρ ἢ χθόνα πυρρὰν μάθης,
Ἑλληνίδος τὴν λέξιν ἐξ Ἑβραΐδος·
καὶ μάχεται πῦρ τοῖς πυρὸς θνητοῖς γόνοις·
ἐμφύλιός τις καὶ βαρὺς οὗτος μόθος·
τὸ κτίσμα τῷ κτίσματι τὴν ἔχθραν τρέφει,

844-845 cf. Mt. 13,31; Ps. 79,11. **865-866** cf. Jos. Flav., AJ 1,34,4 ὁ δ' ἄνθρωπος οὗτος Ἄδαμος ἐκλήθη· σημαίνει δὲ τοῦτο κατὰ γλῶτταν τὴν Ἑβραίων πυρρόν, ἐπειδήπερ ἀπὸ τῆς πυρρᾶς γῆς φυραθείσης ἐγεγόνει. Se etymologiam e Iosepho hausisse confitetur Io. Zonar., Ann. I 2 (I 21,11–13 ed. Bonn.); cf. et Const. Man., Chron. 243–244.

844 σινάπεος MB : σινάπεως Diet **846** ὃς B τῶν B : τὴν ex τῶν M **848** πυρὰν M **849** λόγῳ B **850** ὢ B **855** πυροτρόφου M **859** καί πως M **860** φύσιν ex φύσειν M **864** θανάτου B **865** πυρὰν M **866** ὡς B **868** μύθος B

B 75ᵛ ἐχθραίνεται γὰρ ἐκ θεοστυγῶν τρόπων·
τὸ δ' ἄψυχον, φεῦ, ἐκνικᾷ τοὺς ἐμπνέους.
ὦ τῶν σοφῶν νοῦς, ὦ παλαιτέρων βάθος,
μάτην κεράμῳ πηγνύεις στερρὸν βρέτας,
ὡς πυρὸς ἡττήσειε πάμβορον βίαν,
μᾶλλον στεγανωθῇ δὲ πρὸς τῶν ἀνθράκων.
πήλινος αὐτὸς ἀνδριὰς ἀπεγλύφην,
ἐκ γῆς δὲ πυκνὴν τὴν κεραμείαν φέρω,
ἀλλὰ δαπανᾷ τοῦ πυρός με τὸ ζέον
εἰς αἰθάλην τε τὴν θεοῦ κύρβιν λύει.
μάτην λίθινον ἀπολαξεύεις βρέτας,
ῥύαξ πυρὸς γὰρ καὶ λίθους κατακλύσει,
ὁ πανδαμάτωρ καὶ φθορεὺς τῶν ἀφθόρων.
φεῦ, ὑψίπυργον καὶ πλατύπλεθρον πόλιν
κολωνὸν ἑστηκυῖαν εἰδεχθῆ βλέπω
καὶ τερέβινθον οὐ τρέφουσαν φυλλάδας,
ὡς δὲ χρυσῆν πλάτανον ἐκπυρουμένην
κἀκ τοῦ πυρὸς μάλιστα κίβδηλον θέαν,
ὥσπερ πρόκαυμα χύτρας ἡ γραφὴ γράφει.
ῥυσσὸν τὸ κάλλος τῆς νέας Ῥωμαΐδος
ῥικνόν τε καὶ δύσμορφον ἐκ τῆς ἀσβόλης.
ὦ πῶς τὸ καλὸν σῶμα τῆς Βυζαντίδος
αἰσχρὰς τὰς οὐλὰς ἔσχεν ἐκ καυτηρίας·
ἦ που νοσοῦσαν τῆς ἁμαρτίας νόσους
μετέρχεται σίδηρος ἐκ τῶν ἀνθράκων,
M 18ʳ ὡς τὴν νομὴν στήσειε τῆς καχεξίας.

881 cf. supra ad v. 758–761. **883** πλατύπλεθρον cf. Euthym. Tornik. (ed. Papadopoulos-Kerameus, Noctes Petropolitanae, St. Petersburg 1913), 206,49. **885** Is. 1,30. **886** de aurea platano in aula imperiali constructa iussu imp. Michaelis II cf. Theoph. Cont. 173,7; 257,4. **888** Joel 2,6; Nah. 2,11.

870 ἐχθαίνεται MB **873** μμάτην B **875** δε MB **879** τὲ MB τοῦ θεοῦ κύρβην B **881** πυρός γαρ MB κατακλύσοι MB **884** καὶ εἰδεχθῆ per errorem Diet **885** τερέβινθον B : τέ[...]ψινθ\ M **888** πρόκαυμα BM LXX v. 1.: πρόσκαυμα LXX

Σωτήρ, ἰατήρ, ψύξον ὀψὲ τὸν μύδρον·
οἴκτου σταλαγμοῖς ἐκδροσίσας τὸ φλέγον,
τῆς καρδίας ἥψατο καὶ τῶν ἐγκάτων.
ἔαρ δὸς ἡμῖν ἀπὸ καυσώδους θέρους,
ποτήριον κέρασον ἀκράτως ζέον
καὶ τὸν τρυγίαν ἐκκένωσον εἰς ἔθνη,
εἰς πυρσολάτρας καὶ τιμῶντας τὴν κτίσιν,
ὡς τοὺς θεοὺς μάθοιεν αὐτῶν παμφάγους.
μὴ καὶ τὰ λοιπὰ τῆς Κωνσταντίνου φλέγοις.
ἅπαντες ἐφλέχθημεν ἐξ ἑνὸς μύδρου,
ἅπαντες ἐπλήγημεν ἐξ ἑνὸς ξίφους.
ὡς γάρ τις ὀργῇ τινα μαστίζειν θέλων
τύψας μέρος τὸ σῶμα σύμπαν ἀλγύνει,
πληγῇ μέλους ἔθλιψε τὴν διπλῆν πλάσιν,
οὕτω πατάξας τῆς Βυζαντίδος μέρη
καὶ φλέξας ἡμῖν τῶν τινας ὁμογνίων,
εἰς πάντας ἐξέτεινας ἄλγους πικρίαν
δυσαρκίαν τε τῶν ὁμοσπόρων θλίβεις·
ὡς καὶ διδάξας τοῖς κλάουσι συγκλάειν
ζώου βραχὺ σπαίροντας ὁ πνοοβρύτης
ξηρά τε τοῖς ἄνθραξιν ὀστέα ψύχου·
διὰ πυρός τε καὶ νάματος δακρύων
διήλθομεν· ψύχασον ἡμῶν καρδίας.
ἀρκεῖ τὸ πένθος συμπαθεῖς κλᾶν καρδίας·
πλατὺς ὁ θρῆνος, κἂν βραχὺς πρὸς τὸ θλίβον.
παύσω λόγους μέν, ἀλλὰ τοὺς γόους τότε,
ὅταν πνέοντας τοὺς πεφλεγμένους ἴδω
καὶ πυρικαύστους ἐκνεάσαντας δόμους
καὶ τῶν ναῶν τὸ κάλλος ἐξανθοῦν πάλιν

900-901 Ps. 74,9. **902** cf. Georg. Pis., Heracl. I 8.14 θεουργεῖν τὴν κτίσιν ... πυρσολάτρης. **914** cf. Anth. Pal. IX 573,4; Rom. 12,15. **916** cf. Ez. 37,4.11. **917** cf. Eur., Med. 1187; Soph., Trach. 919.

896 ὀψὲ B : ποτὲ M παράκλησις εἰς θεόν in margine M **901** τὴν B **907** ὀργή Diet **912** ἐξέτινας B **919** κλῶν B **921-937** La

καὶ τὴν τοσαύτην τῶν καλῶν πανσπερμίαν.
οἴμοι στενάξω τοῖς ἀλαλήτοις γόοις,
ἕως ὁρῶ πῦρ, τὴν φθορὰν τῆς πατρίδος,
ἕως τὸν ἐχθρὸν εἰς ὑπόμνησιν βλέπω
ἐν ἐσχάραις τε καὶ δᾳδούχοις λαμπάσιν.
ὡς εἴθε πῦρ εὕρηκε παντελῆ σβέσιν,
ἀπῆν ἐμοῦ βλέμματος ἡ κοινὴ λύμη.
οὕτω γὰρ ἴσως ἐξελαθόμην στένειν,
κἂν ἦν σκότος τὰ πάντα τῇ πυρὸς σβέσει.
δέδοικα, μὴ φάντασμα καὶ φλογὸς μόνον
ἐμὴν ψυχήν, φεῦ, ἐξεπίμπρα πρὸς γόους.
ἀπεῖπα· πῦρ με καὶ λαλοῦντα συμφλέγει.
ὢ πῦρ, βαβαὶ πῦρ, καὶ τρίτον καὶ πολλάκις :—

* * *

Initium carminis secundum codicem B

fol. 71ʳ [Ὁ........ κ]άλαμο[ς πυρὸς ....]
ἂν τοὺς πυρὶ σπαίροντας ἐξεπυρπόλεις.
ἔβλεψα λῃστὰς τοῦ πολίσματος μέσον,
καίτοι γε λόχους πᾶς φονεὺς ὑποτρ[έχ]ει,
ἐν ἡμέρᾳ καὶ ταῦτα τῇ σελασφόρῳ,
ἣν λαμπρύνει πῦρ καὶ δᾳδοῦχος φωσφόρος,
[πο]λιτικοὶ δράκοντες, [ἀ]στικοὶ λύκοι,
οἰκειακὸν λόχημα τοῦ νόθου πλέον,

926 στενάξω B : στενάζω M **933** ἦν M : οὐ La; lacunam habet B τῇ M : τοῦ B **935** ἐξεμπίμπρα B **937** explicit M. Post versum 937 versum add. B, cuius vestigia praeter ultimam vocem πόλιν legi non possunt. Quem versum sequitur nota τέλος τῶν περὶ ἐμπρησμοῦ στίχων.

7 cf. M 49.

Incipit mutile. Titulum στίχοι περὶ ἐμπρησμοῦ addidit manus posterior **1** ὁ … κάλαμος πυρὸς Diet : τὸν κάλαμον πυρὸς Browning **2** ἐξεπυρπόλεις: ἄτης (?) πυρπνόου Browning **5** ἀν B? **6** λαμπρύνη B

ὅσον κάτοιδε τοὺς ἐφεστίους πόρους.
καί πού τις ἐν κλύδωνι τοῦ πυρὸς τρέχει,
εἰς λιμένα κατῆρε τοὺς ὁμογνίους
καὶ τοῖς ἀδελφοῖς χεῖρας ἐκπεταννύει·
τοὺς ἅρπαγας γὰρ προσκαλεῖται συμμάχους
φύσει τε κλαπεὶς καὶ γένους ταῖς ἐγγύαις·
ἀλλ' ἦν ὁ λιμὴν ὡς λιμὴν τοῦ Ναυπλίου
ἄμπωτις ἅλ[λ]η καὶ Χαρύβδεως στόμα.
καὶ καπνὸν ἐκδρὰς ἀνθράκων ὁ δραπέτης
εἰς ἁρπάγων ἔπιπτε μαλερὰν φλόγα·
ἑκατόχειρ ἦν ὁ στρατὸς τῶν ἁρπάγων,
μυριόχειρ μᾶλλον δὲ πρόσφατον τέρας,
Ὕδρα πολυκέφαλος ἐξ ὁμαιχμίας·
ἀπῆν δ' Ἡρακλῆς ἐκθερίζων τὰς κάρας.
κἂν ἦν τὸ πῦρ ἐγγύθεν ὡς ἐπιφλέγον,
εἰσέτρεχον μὲν εἰς δόμους ἀλλοτρίους
ὡς δεσπόται χωροῦντες εἰς τοὺς θαλάμους
πρόφασιν ὡς σβέσ[ουσ]ι τὴν πυρὸς ῥύμην,
ἀλλ' ἦν ἀπευκτὸν μᾶλλον αὐτοῖς ἡ σβέσις,
καὶ πάντα πλοῦτον ἐσκύλευον τῆς στέγης
ἐπιλαλοῦντες τοῦτο πρὸς τοὺς δεσπότας,
κἂν κωμικὸν φεῦ ἐν πάθει τραγῳδίας,
τὸ τῶν γεράνων πρὸς πτερὸν τῶν ἀκρίδων·
ἂν μὴ φάγωμεν, πόντος ὑμᾶς ἑλκύσει·
ἦν γὰρ ποταμὸς ἐγγύθεν ταῖς ἀκ[ρίσιν].
[ἔ]φασκον οὐκοῦν τὸ τρικάρχαρον γένος·
ἂν μὴ λάβωμεν ὄλβον ὑμῶν τῆς στέγης
καὶ πᾶσαν ἔνθεν ἁρπάσωμεν οὐσί[αν],

15 de Nauplii, Palamedis patris, dolo cf. e.g. Niceph. Uran., Ep. 36,36 (ed. Darrouzès, Epistoliers, 1960) τῶν Ναυπλίου λιμένων ἀπιστοτέροις. **30-33** fontem huius fabulae non invenimus. Cf. vero Il. 21,12 ss. (locustae ignem fugientes in flumen cadunt) necnon Const. Acrop., Myth. 4 (ed. Papadopoulos-Kerameus, Deltion Hist. Ethnol. Het. 3 [1889] 448–50: Locusta se necessarie ab avibus devorari lamentatur).

14 τὲ B **17** καπνῶν B **32** ἡμᾶς B

πῦρ ἀποτεφρώσειεν ὑμῶν τὸν βίον
λιπὸν πένητας τοὺς πῦρ εὐθηνουμένους.
τούτοις ψυχροῖς ἥρπαζον ἀδίκως λόγοις.
κἂν ἐμμενεῖ τις δεσπότης ἐν τῇ στέγῃ
καὶ βράσμα καὶ κλύδωνα τοῦ πυρὸς στέγῃ,
εἴ πως φυλάξῃ σκευαγωγίαν βίο[υ]
καὶ πλοῦτον αὐτοῦ τῆς πυρᾶς ἀφαρπάσῃ,
ὤνατο μηδὲν τῆς μονῆς καὶ τῶν πόνων·
ἅρπαξ γὰρ ἐκράτησε τοῦ παντὸς δόμ[ου].
καὶ μὴν ἐκρίθη καὶ νόμος κατεγράφη,
ἄν τις ἐπιμείνειε νηὶ ποντίῳ
καὶ τοῦ κλύδωνος καρτερήσῃ ν[αμάτων],
κύριον εἶναι τῆς νεὼς καὶ δεσπότην
ἀγωγίμων τε ναυτικῶν καὶ φορτίων,
κἂν ἀλλότριός ἐστι τῶν φορτισμάτων,
ἐπιβάτης ἢ καὶ τύχης τῶν ναυτίλων.
ἀλλ' ὧδε καὶ κύριος ἰδίας στέγης
ἐπιμένων ὠθεῖτα[ι τῆς κ]ληρουχίας.
ὢ πυρὸς οὗτος καυστικώτερος πόνος
καὶ καρτεροῦντας ἐξαπόλλειν τὸν βίον.
ἄλλος κενώσας ἐξ ἀνάγκης τὴν στέγην
καὶ φόρτον ἐνθεὶς χρημάτων ἐς τὰς ῥάχεις,
ὅμως ἐλαφρόν, εἰ τὸ καῦσος ἐκφύγῃ,
ἔσπευδε σῴζειν λείψανα τῶν ἀνθράκων,
ὡς μὴ σπάνις γένοιτο παντελὴς βίου,
ἀλλὰ συναντᾷ τῶν φιλαρπάγων θράσος
ὡς ἅρπαγάς τε συγκλονεῖ τοὺς δεσπότας
καὶ τοὺς ὑγιεῖς ἑλκεσίβρυτος κρίνει
καὶ δυσκολαίνων τάχα τῶν ἁρπαγμάτων,
αὐτὸν δικαιοῖ συλλαβεῖν τὸ φορτίον
καλὸν φύλακα κτήσεως ἀλλοτρίας,

37 ἡμῶν B **38** λοιπὸν B **42** φυλάξει B **43** ἀφαρπάσει B **48** ναμάτων suppl. e.g. **51** ἀλλότριος ἔστι B **53** ὦδε B **63** ἄρπαγας τὲ B

φύλακα φαῦλον ὡς τετρημένον πίθον
ταμεῖον, ἀλλ' ἄπιστον, ἐξ ἀ[..........]
ὁ δεσπότης δὲ συμφορᾶς μῆκος βλέπων
ἅρπαξ ἀκούων τῶν ἑαυτοῦ χρημάτων,
[ὁ δ' ἀπα]γωγεὺς ἵ[πταται ἐν]δυμάτων,
ἀγαπᾷ φυγεῖν ἁρπαγήν, κἂν τὴν δίκην,
καὶ τῷ δικαστῇ δῶρα δοὺς τοῦ φορτίου,
ἂν [ἀφανίσῃ] τὰς γραφὰς καὶ τὴν κρίσ[ιν],
κακῷ τὸ κακὸν ἐξιώμενος τάλας,
γυμνὸς νικητὴς ἀπολυθεὶς τῆς δίκης.
ἥττης πάσης φεῦ φορτικώτερον κράτος·
ὢ τίς ἐν ὑγροῖς καὶ πυρὶ πικρὸς νόμος,
ἐν τῇ θαλάσσῃ καὶ φλογὸς τρικυμίᾳ
τὰ ναυάγια χεῖρας ἁρπάγων φέρειν.
ἔρριψεν ἀκτὴ καὶ σπιλὰς τὴν ὁλκάδ[α]
καὶ δεσπότης πᾶς ὁ θρασὺς τ[οῦ] φορ[τί]ου.
ἔκαυσεν ἡ φλὸξ δυστυχεστέρων στέγας
καὶ χεὶρ ἄδικος ἔσχεν ἐνταῦθα κράτος.
βαβαὶ νόμοι κενοῦντες οἰκτρῶς τὰς πόλεις
ὡς ἄνομοι νεκροῦντες αἰχ[μὰς ....]ρων.
ὁ μὲν κατὰ θάλατταν ὁπλίζει ξίφος,
ὁ δ' αὖ κατὰ γῆν εὐτρεπίζει τὸν γνάθ[ον]
ὁμοῦ τε πεζὴ καὶ θαλάττιος κλά[σις].
fol. 71v ἀλλ' ὢ πῦρ, ὢ πῦρ, φλεκτικὸν μὲν εἰς λίθους
πλίνθους τε τεφροῦν οὐδ' ἀδικοῦντας δόμους,
τ[ῶν ἁ]ρπάγων δέχῃ δὲ θιγγάνειν σθένος·
μὴ καὶ μιανθῇς δῆθεν ἐκ τοῦ βορβόρου,
ἀλλ' ἄγε πίμπρα τοὺς μυσαροὺς ἐνδίκως·

68 cf. e.g. Corp. Paroem. Gr. I,32,15 (Zenob. 2,6). **76** de proverbio κακὸν κακῷ ἰᾶσθαι v. R. Strömberg, Greek Proverbs, Göteborg 1954, p. 15 et 48. Nonnulla exempla apud H. Hunger [et al.], Registrum Patr. Cpl. II. Wien 1995, p. 98 (ad docum. 110,30 s.). Voce ἐξιᾶσθαι in hoc contextu solus praeter nostrum Nicephorus Patr., Ref. et eversio 204,70 (ed. Featherstone, Turnhout 1997) utitur.

68 τετρημμένον B **72** suppl. **74** τῷ φορτίῳ B **75** suppl. **89** suppl. **93** τ[οὺς Diet δέχῃ δε B

ἡ τοῦ πυρὸς γὰρ οὐ μολύνεται φύσις,
ἀλλὰ φθινύθειν τοὺς κακεργάτας φράσας,
οὓς πῦρ γεέννης ἐξερευνήσει τότε·
ἴδω τὸ σεμνὸν εὐσεβεστέρων λάχος
τὸ συμπαθές τε χριστεπωνύμων φύλον,
καὶ σκέπτεται τί πρὸς πυρὸς τὰς ἐκβράσεις;
ὅλας θαλάσσας δακρύων, τὸ τοῦ λόγου,
θερμῶς κατεστάλαττε τῶν πυρανθράκων·
ἄσβεστον ἦν δὲ τοῦ πυρὸς τὸ παφλάσαν,
ἔτι θαλάσσας ναμάτων τῶν ὀμβρίμων
συχνὰς κατήντλουν τοῦ πυρὸς τοῦ παμφάγου,
ὡς ἂν τὸ θερμὸν ἰκμὰς ἡ ψυχρὰ σβέσῃ,
ἀλλ' ἦν πολυδίψιος ὁ ζέων δράκων,
ὡς ἐκ καμάτων καὶ μακρῶν περιδρόμων
πυκνά τε δραμὼν ἐ[γ]κατάξηρος φύσει
ἅπασαν ἐμύζησεν ὑδάτων δρόσον,
ἀντλούμενος δὲ τὴν φλόγωσιν αὔξάνει
καὶ θαῦμα, πῶς πῦρ σπένδεται ταῖς ἰκμάσιν·
ὡς ἐν νέφει τις ἀστραπή τε καὶ δρόσος
στοιχειακόν τε ζεῦγος ἀλλ' ἐναντίον,
ἔλαιον εὗρε τὰς ποτίμους ἐκβλύσεις,
ἄναμμα πυρὸς τὴν δροσίζουσαν χύσιν.
[κἂν] μὴ Χριστὸς νάματα καὶ πάλιν τρέπει,
κἂν μὴ πρὸς οἶνον, εἰς τροφὴν δὲ πυρφόρον,
εὐεργετῶν με καὶ πάλιν τεραστίως
[ὡ]ς καὶ κολάζων τὴν πικρὰν ἁμαρτίαν,
καὶ γὰρ θεοῦ κόλασμα χρηστότης πλέον,

102 θαλάσσας δακρύων: hac imagine apud Byzantinos usitatissima (cf. e.g. Eust. Macremb., Hysm. VII 9,3; Theophyl. Bulg., Poem. 14,1 Gautier) Stilbes utitur et in epitaphio in iuvenem, v. 54; cum loco Veteris Testamenti (Jer. 8,23 πηγὴν δακρύων) coniungit Georg. Acrop., Epit. in Io. Ducam (ed. Heisenberg II [1903]) 3,25; at cf. Christ. Mityl. (ed. Kurtz [1903]) 40,40 ζητῶν θαλάσσας, οὐχὶ πηγὰς δακρύων. **118-119** cf. Io. 2,1.

100 φύλον B metri causa **109** καμάτων in καυμάτων corr. B **110** πυκνὰ τὲ B

ἂν ὕδατι δὲ καὶ χύσει τῆς ὑδρίας
ὁ Θεσβίτης πρὶν ἐξεπίμπρα τὰ ξύλα,
ἔφλεξε καὶ νῦν σχίδακας δομημάτων
ὡς αἰσχυνεῖ φεῦ αἰσχύνην ἁμαρτίας·
ὅμως ἐπήντλουν ὑδρίας ἐν ὑδρίαις
τῶν συμπαθῶν αἱ χεῖρες εἰς τὸ παφλάσαν
μήπω μαθοῦσαι τὴν θεήλατον δίκην,
[τὰ μυρί]α δὲ συντελοῦσαι πρακτέα.
ἄλλος δὲ μαθὼν τοῦ πυρὸς τροφὴν ξύλα
ἀπῆγε μακρὰν ἐκφορῶν τῶν δωμάτων
σάττων ἑαυτὸν φορτικώτερον βάρος,
κἂν ἦν ὁ φόρτος κοῦφος ἐκ προθυμίας.
ὡς ἀτροφῶν θὴρ ἐκθανεῖται παμφάγος
